# [AESCHYLI]

# PROMETHEVS

EDIDIT

MARTIN L. WEST



STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMXCII

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

**Aeschylus:**
[Prometheus]
[Aeschyli] Prometheus / ed. Martin L. West. – Stutgardiae :
Teubner, 1992
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
Einheitssacht.: Prometheus vinctus
ISBN 3-519-01018-6
NE: West, Martin L. [Hrsg.]



Printed in Germany

Gesamtherstellung: Passavia Druckerei GmbH Passau

# PRAEFATIO

## De codicibus scholiisque triadis Aeschyleae

Fabulis Aeschyleis studuerunt Byzantini tribus praecipue: Prometheo, Septemducibus, Persis. Huius 'triadis', ut vocatur, exstant codices plus centum, sed quattuordecim tantum constanter citandi sunt. Longe vetustissimus atque optimus est M = Laur. 32.9 (saec. x); nec tamen semper lectionem meliorem praebet, sed omnia sunt acri iudicio perpendenda. Adsidue correctus est ab eo qui scholia adscripsit ($M^s$); sollers fuit homo, qui lectiones ex scholiis extrahere quibat, hic illic coniecturas suas adiecit, verum nonnumquam lectionem meliorem oblitteravit. Corrector alter multo recentior ($M^2$) nihil auctoritatis habet, neque quicquam affert quod non aliunde notum sit; hunc negligere licet.

Ceteri libri tredecim de quibus nunc agitur, I HB OY AWD VN QK L, saeculis xiii et xiv conscripti, inter familias septem (*α β γ δ ε κ λ*) distribuuntur, sicut infra in indice siglorum vides, quamquam hae familiae parum firmae stabilesque sunt. Familiae *α* et *β* melioris sunt notae, *γ* et *δ* mediocris, *ε* vilioris. In familiis *κ* et *λ* bonam quidem traditionem, sed etiam philologorum Byzantinorum vestigia deprehendimus; emendationes quaedam ambarum communes sunt, sed *λ* artius cum Maximo Planude conecti potest. Codex Q et hyparchetypum *λ* a Constantinopoli Thessalonicam videntur devenisse in Demetrii Triclinii scriptorium, ubi increvit et *λ* familia et aliae quas interdum in apparatu memorabo, *μ ξ τ*. Ipsius Triclinii curae in *τ*

familia apparent. Nam exemplar deperditum, quod et ipsum τ vocamus, postquam a Triclinio correctum est, fons fuit in Persis codicum G (usque a versu 176 circiter) et F, et in tota triade codicis T, quem ipse Triclinius conscripsit emendationibusque novis implevit. Lectiones Triclinianae hic illic etiam in codices Lc K Lh manaverunt.

Alii libri saeculis xiv–xvi conscripti, quotquot interdum citare placuit, infra recensentur.

Quae ratio inter codicum familias intercedat, non potest explicari. Omnes tamen patet ab uno pendere archetypo litteris minusculis saeculo ix vel x ineunte conscripto.

Scholiorum genera sunt quattuor: (Σ) scholia vetera, quae doctrinam aetatis Romanae reddunt quaeque imprimis in codicibus M I exstant. (Φ) Commentarius paraphrasticus in triadem, in multis libris traditus, saeculo fere xii ut videtur compositus. (Θ) Thomae Magistri scholia in triadem, sub finem saeculi xiii Thessalonicae composita. Horum vestigia exstant in codice O ad initium Promethei, apparentque deinceps in familia ξ et codicibus Q (post addita) Lc T K aliis. ($T^{\sigma}$) Triclinii scholia, praesertim de re metrica. – Interdum citantur scholia adespota e diversis libris (Σ*), quibus caute utendum est, quoniam non liquet quam antiqua sint.

Virorum doctorum nominibus in apparatu adhaerent plerumque numeri qui ad opera paginasque referant: clavem reperies in indice criticorum qui in editione maiore pp. LVII–LXXIX prostat, in hac minore autem propter amplitudinem non recipi potest.

# INDEX SIGLORVM

## FRAGMENTA PAPYRACEA

- $\Pi_1$ P. Oxy. 2179 + 2163 fr. 10 + novum (v. The Oxyrhynchus Papyri XX, 167), saec. ii: Sept. 155–64
- $\Pi_2$ P. Oxy. 2334, saec. ii: Sept. 498–503, 529–52
- $\Pi_3$ P. Oxy. 2333, saec. ii: Sept. 621–38, 644–56
- $\Pi_4$ P. Vindob. G 40458 (ZPE 40, 1980, 92), saec. ii: Supp. 586–90
- $\Pi_5$ P. Oxy. 2178, saec. ii: Ag. 7–17, 20–30
- $\Pi_6$ P. Oxy. 3838, saec. ii/iii: Prom. 122–32, 134

## CODICES CONSTANTER IN PERS. SEPT. PROM. CITATI

- M Laur. 32.9, saec. x
- I Athous Ἰβήρων 209 (olim 161), saec. xiii/xiv
- H Heidelberg. Palat. gr. 18, saec. xiii (ca. 1270)
- B Laur. 31.3 + 86.3, ann. 1287
- O Lugd. Batav. Voss. gr. Q4A, saec. xiii ex.
- Y Lugd. Batav. Voss. gr. Q6, saec. xiv in.
- A Ambros. gr. C 222 inf. (886), saec. xiii (ca. 1270)
- W Vat. gr. 1332, saec. xiii (ca. 1290)
- D Ambros. gr. G 56 (399), saec. xiv in.
- V Marc. gr. 468 (653), saec. xiii (ca. 1270)
- N Matrit. gr. 4677, saec. xiii (ca. 1290)
- Q Par. gr. 2884, ann. 1301
- K Laur. conv. suppr. 11, saec. xiv (ca. 1330–40)
- L Laur. 32.2, saec. xiv (ca. 1310)

ALII CONSTANTER IN AGAM. ET EVM. CITATI

G Marc. gr. 616 (663), saec. xiv (ca. 1321)
T Neapol. II F 31, saec. xiv (ca. 1325)
F Laur. 31.8, saec. xiv (ca. 1335–48)
E Salmantic. Bibl. Univ. 233, saec. xv (ca. 1450–70): Eum.

ALII AD LIBITVM CITATI

Ba Vat. Ottob. gr. 210, saec. xv
C Par. gr. 2785, saec. xiv med.
Cb Par. gr. 2790, saec. xvi
Δ Mosqu. gr. 508, saec. xv
Fb Vat. gr. 1824, saec. xiv (ca. 1315)
Fc Ambros. gr. I 47 sup. (459), saec. xiv
Fd Laur. 91 sup. 5, saec. xiv
Ga Vat. Palat. gr. 287, saec. xiv (ca. 1310–20)
Ha Matrit. gr. 4617, saec. xiv (ca. 1335)
La Par. gr. 2786, saec. xiv med.
Lb Rom. Vallicell. B 70, saec. xiv (ca. 1320)
Lc Cantabr. Bibl. Univ. Nn III 17 A, saec. xiv (ca. 1320)
Lh Cantabr. Bibl. Univ. Nn III 17 B, saec. xiv
Ma Laur. S. Marco 222, saec. xiv in.
Mb Bonon. Bibl. Univ. 2271, saec. xv
Mc Guelferbytanus Gud. gr. 4° 88, saec. xv (ca. 1495)
Md Scorial. T.I. 15, saec. xvi (ca. 1540)
Me Par. gr. 2886, saec. xvi (ca. 1518–21)
Mf Monac. gr. 546, saec. xvi
Nc Laur. 28.25, saec. xiii ex.
Nd Laur. 31.38, saec. xiv (ca. 1330–40)
Ξa Par. suppl. gr. 110, saec. xiv (ca. 1340)
P Par. gr. 2787, saec. xiv in.
Pd Par. gr. 2789, saec. xv

| | |
|---|---|
| R | Vat. gr. 57, saec. xiv (ca. 1330) |
| Ra | Oxon. Bibl. Bodl. Selden Supra 18, saec. xv |
| Rb | Vat. gr. 2222, saec. xiv in. |
| Rc | Laur. conv. suppr. 7, ann. 1344 |
| Sd | Par. gr. 2788, saec. xv |
| Si | Par. gr. 2886 (= Me) |
| Sj | Vat. gr. 58, saec. xv |
| U | Lips. Rep. I.4.43, saec. xv |
| Ua | Vat. Regin. gr. 155, saec. xv |
| Uc | Monac. gr. 565, saec. xvi |
| Va | Marc. gr. 470 (824), saec. xv med. |
| X | Laur. 31.2, saec. xiii ex. |
| Xc | Laur. conv. suppr. 98, ann. 1372 |
| Ya | Vindob. phil. gr. 197, ann. 1413 |
| Yd | Par. gr. 2782 A, saec. xvi |
| Ze | Vindob. hist. gr. 122, saec. xvi |
| Zf | Mosqu. gr. 505, saec. xv |
| Zh | Guelferbytanus Gud. gr. 4° 88, saec. xv |
| Zi | Vindob. phil. gr. 235, saec. xv |

## LIBRORVM FAMILIAE SIVE HYPARCHETYPA

| | |
|---|---|
| *α* | I Ba Δ |
| *β* | HB, accedunt interdum Nc X Rc C et in posteriore parte triadis Δ |
| *γ* | O Y, accedunt interdum La Ya |
| *δ* | A W D, accedunt interdum Ξa La |
| *ε* | V N, accedunt saepe X P Rb Nd Xc |
| *κ* | Q K, accedunt saepe Lc R Ha |
| *λ* | L La (Prom. Sept.) Lb (Sept. Pers.) |
| *μ* | Ga G |
| *ξ* | Fb (> Fc) Fd F |
| *τ* | exemplar a Triclinio correctum unde pendet T et ex parte G F E |

## SIGLA CETERA

| | |
|---|---|
| *Ω* | lectio omnium codicum vel utique archetypi |
| Σ | scholium vetus ($\Sigma^{\lambda}$ scholii lemma; $\Sigma_{I}$ scholium in cod. I) |
| $\Sigma^{*}$ | scholium incertae aetatis |
| Φ | commentarius paraphrasticus in triadem, saec. fere xii |
| Θ | Thomae Magistri textus |
| $T^{\sigma}$ | Triclinius in scholio suo |
| $A^1$, $A^2$ | A a prima /ab altera manu correctus |
| $A^a$, $A^c$ | A ante/post correctionem |
| $A^{a?}$, $A^a$? | A, fort. a.c./fort. A a.c. |
| $A^{a2}$, $A^{as}$ | A ante correctionem ab altera manu/a scholiorum scriba factam |
| $A^{\times}$ | A ante vel post correctionem (incertum utrum) |
| $A^{gl}$ | glossema in A, vel lectio quasi glossema adscripta |
| $A^{\gamma\varrho}$ | varia lectio cum γϱ. in A adscripta |
| $A^{mg}$ | A in margine |
| $A^r$ | A in rasura |
| $A^s$ | A tum correctus cum scholia addita sunt |
| $A^{ss}$ | lectio in A super lineam scripta |
| $A^t$ | A in textu, altera lectione inter lineas vel in margine adscripta |
| $A^{uv}$ | A ut videtur |
| A+ | A cum alio quodam codice (vel plus uno) qui saepe ab eodem hyparchetypo pendet (cf. pp. VIII sqq.) |
| \|\|\| | littera erasa |
| * | littera obscura |
| ạ | littera quae α videtur esse |
| [ ] | textus periit |
| ⌊ ⌋ | papyrus periit |

| | |
|---|---|
| ⟦ ⟧ | delevit scriba |
| { } | delenda censeo |
| ⟨ ⟩ | inserenda censeo |
| ⟨XO.⟩ | nec personae nota nec paragraphus est in cod(d). |
| † † | corruptela non sanata |
| \| | finis versus vel lineae |
| ci. | coniecit, coniectura |
| ss. | suprascripsit, cum suprascripto |
| u. v. | ut videtur |

VIRORVM DOCTORVM NOMINA BREVIATA

| | | |
|---|---|---|
| Asul(anus) | Dind(orf, W.) | Tricl(inius) |
| Aur(atus) | Rob(ortello) | Turn(ebus) |
| Blomf(ield) | Scal(iger) | Vict(orius) |
| Casaub(onus) | Steph(anus) | Wil(amowitz) |

# ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ

## Ὑπόθεσις

Προμηθέως ἐν Σκυθίαι δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ πυνθάνεται Ἰὼ ⟨ ⟩ πλανωμένη, καὶ κατ' Αἴγυπτον γενομένη ὅτι ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς τε παράγεται ἀπειλῶν αὐτῶι κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπηι τὰ μέλλοντα ἔσεσθαι τῶι Διί. καὶ τέλος βροντῆς γενομένης ἀφανὴς γίνεται ὁ Προμηθεύς.

κεῖται ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κολχίσι, παρὰ δ' Εὐριπίδηι ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίαι ἐπὶ τὸ Καυκάσιον ὄρος·

2 lac. stat. West: deest fere ⟨ὅσας τε χώρας ἐπελεύσεται⟩ καὶ κατ'] καὶ M: κατ' $IO^a DG$ 3 ὅτι om. K ἐπαφῆς D 4 Ἑρμῆς δὲ OG παραγίνεται O et in argumento reficto Θ 5 συμβήσεσθαι O post Διί pergunt KP προέλεγε γὰρ ὁ Προμηθεὺς ὡς ἐξωσθήσεται ὁ Ζεὺς τῆς ἀρχῆς ὑπό τινος οἰκείου υἱοῦ. τέλος δὲ κτλ. 7 ἡ M: δὲ ἡ cett. 8 Κολχίσι Brunck: Κόλχοις *Ω* (cf. TrGF IV 316) 9 παρὰ τὸ I: ὑπὸ τὸ Lc: malim περὶ τὸ ἐπὶ τὸ K. ὄρος om. R, del. Wil.[19], cf. Σ 1d ἰστέον ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσωι φησὶ δεδέσθαι τὸν Προμηθέα ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις τέρμασι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων (707 sqq.) ἐστὶ συμβαλεῖν

ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστι Προμηθέως δέσις.

τὰ τοῦ δράματος πρόσωπα

Κράτος καὶ Βία: Ἥφαιστος: Προμηθεύς: χορὸς Ὠκεανίδων: Ὠκεανός: Ἰὼ Ἰνάχου: Ἑρμῆς

10 ὠκεανίδων γυναικῶν νυμφῶν B + V   13 sq. Prometheum post chorum MIBDV: recte OΘ   ὠκεανός: γῆ: ἡρακλῆς: MIBDV: Tellure et Hercule carent OΘ   Io post Mercurium MIDV

# ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ

ΚΡΑΤΟΣ

Χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβροτον εἰς ἐρημίαν.
Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι
ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις.
τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,

1–6 sch. Ar. Ran. 814 (Sud. ε 2978); 2 (– οἶμον) St. Byz. 578.15, Eu. 775.1, 1339.8 et ad D.P. 69; (ἄβροτον –) sch. bT Il. 14.78 b, cf. Eu. 968.45; (ἄβρ.) Hsch. α 211; 3 (ἐπιστ.) Hsch. ε 5255, Eu. 29.14, 312.6, 829.57; 4 (ἐφεῖτο) cf. Hsch. ε 7372; (πέτραις) –5 Sud. λ 274; (λ.) Hsch. λ 791, Et. M. 563.10; 6 (ἀρρ.) Hsch. (Cyr.) α 7431   7 cf. Eu. 748.47, 1597.63, Tz. Exeg. Il. 143.4 Lolos et ad Hes. Op. 60

---

Codd. M   IBaΔ (= *a*)   H[268–]B (= *β*)   OY[51–] (= *γ*)
WD (= *δ*)   VN[–847] (= *ε*)   QK (= *κ*)   LLa (= *λ*)

1–87 Κράτος verba facere, non Βίαν, indicant libri (cf. Σ 12c), probat masc. πλέως (42)   1 τήλουρον ΣGa[λ]: τηλουρὸν *Ω*, Hdn. I 202.17   2 οἶμον MIBOV+ Eust.[1]: οἶμον cett.   ἄβροτον (cf. 20 sq. 270) sch. Hom. sch. Ar.vs (ἄδρ- v) Hsch.: ἄβατον Σ (15) *Ω* sch. Ar.R   6 ἀδαμαντίνων δεσμῶν sch. Ar.: ἀδαμαντίναις (-νοις BV[a*] +, -νῃς V[c]L) πέδησιν (-αισιν *a*D, -αις OG, -οισιν V[a*]) *Ω*   ἐν om. BN[a]KL   πέδαις sch. Ar.: πέτραις (4) *Ω*: λέγω Fb[2]T   7 possis πάντεχνον

θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην,
ὡς ἂν διδαχθῆι τὴν Διὸς τυραννίδα
στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.

ΗΦΑΙΣΤΟΣ

Κράτος Βία τε, σφῶιν μὲν ἐντολὴ Διός
ἔχει τέλος δὴ κοὐδὲν ἐμποδὼν ἔτι.
ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεόν
δῆσαι βίαι φάραγγι πρὸς δυσχειμέρωι·
πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν,
εὐωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασιν
προσπασσαλεύσω τῶιδ' ἀπανθρώπωι πάγωι,
ἵν' οὔτε φωνὴν οὔτέ του μορφὴν βροτῶν
ὄψηι, σταθευτὸς δ' ἡλίου φοιβῆι φλογί
χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένωι δέ σοι
ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος,
πάχνην θ' ἑώιαν ἥλιος σκεδᾶι πάλιν·
αἰεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει σ', ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.

22 (σταθ. ἡλίου φλ.) Eu. 1446.31; (στ.) Hsch. σ 1595; (ἡλ. φ. φλ.) Eu. 38.3, 40.36, 1266.46 24 (ποικ.) Eu. 814.23

---

15 πρὸς] τῆι M[r] 16 σχέθειν *Ω*: corr. Elmsley[1] 227 17 εὐωριάζειν Porson[5], cf. Soph. fr. 561: ἐξωρ- Σ*Ω* 19 ἄκοντά σ'ἄκων fere *Ω* (ἄκοντ' ἄκων σε B + OD) 20 πάγωι] τόπωι MFd[a]? 21 οὔτέ sic M*a*B + O*δε*K*λ* βροτῶν] θεῶν B + W*ε*Q*λ* 22 ὄψη O[ss]: ὄψει cett. φοίβη(ι) parox. *Ω* Eust. 26 αἰεὶ NV[1]: ἀεὶ cett. 27 που B + D

τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου·
θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης·
ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν
ὀρθοστάδην ἄϋπνος, οὐ κάμπτων γόνυ·
πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξηι· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῆι.
ΚΡ. εἶέν, τί μέλλεις καὶ κατοικτίζηι μάτην;
τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν,
ὅστις τὸ σὸν θνητοῖσι προύδωκεν γέρας;
ΗΦ. τὸ ξυγγενές τοι δεινὸν ἥ θ' ὁμιλία.
ΚΡ. ξύμφημ'· ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;
ΗΦ. αἰεί γε δὴ νηλὴς σὺ καὶ θράσους πλέως.
ΚΡ. ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι· σὺ δέ
τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
ΗΦ. ὦ πολλὰ μισηθεῖσα χειρωναξία.
ΚΡ. τί νιν στυγεῖς; πόνων γὰρ ὡς ἁπλῶι λόγωι
τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.

28 sch. Il. 7.190 in An. Par. III 226.31, Eu. 675.50 32 (ὀρθ.) Et. G. interpolatum An. Par. IV 14.4 (cf. Reitz. Gesch. d. gr. Et. 6) 44 Clem. Str. 5.1.5.1 (Theodoret. c. Gr. 4.531c, Georgides in An. Boiss. I 85), Stob. 4.16.1 45 (χ., cf. Cho. 761) Phryn. PS 125.13 B.

---

28 ἀπηύρω Φ$^{\lambda}$ et plerique, An. Par., Eust.: ἐπηύρω MFdLc$^{\times}$?: ἐπηύρου Elmsley$^{1}$ 227. cf. Hes. Op. 240. Eur. Andr. 1030 30 πέραν Oξ$^{c}$ δίκης πέρα T 33 δ' om. V 35 νεοκρατῆ Σ$_{M}^{\lambda}$ 39 ξυγγενές Porson$^{1}$: συγγ- *Ω* τοι] τε B$^{a}$P$^{\gamma\varrho}$: τι D 40 ξύμφημ' Rb: σύμ- cett. 42 γε δὴ Q$^{2}$K: τε δὴ M*μ*: τοι δὴ Φ$^{\lambda}$I$^{1}$O*δε*, τι δὴ L: τοι *a*B 44 μὴ ζήτει Georg.

ΗΦ. ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.
ΚΡ. ἅπαντ' ἐπαχθῆ πλὴν θεοῖσι κοιρανεῖν·
ἐλεύθερος γὰρ οὔτίς ἐστι πλὴν Διός.
ΗΦ. ἔγνωκα τοῖσδε, κοὐδὲν ἀντειπεῖν ἔχω.
ΚΡ. οὔκουν ἐπείξηι τῶιδε δεσμὰ περιβαλεῖν,
ὥς μή σ' ἐλινύοντα προσδερχθῆι πατήρ;
ΗΦ. καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα.
ΚΡ. βαλών νυν ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.
ΗΦ. περαίνεται δὴ κοὐ ματᾶι τοὔργον τόδε.
ΚΡ. ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῆι χάλα·
δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρον.
ΗΦ. ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως.
ΚΡ. καὶ τήνδε νυν πόρπασον ἀσφαλῶς, ἵνα
μάθηι σοφιστὴς ὢν Διὸς νωθέστερος.
ΗΦ. πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.
ΚΡ. ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.
ΗΦ. αἰαῖ Προμηθεῦ, σῶν ὑπερστένω πόνων.
ΚΡ. σὺ δ' αὖ κατοκνεῖς τῶν Διός τ' ἐχθρῶν ὕπερ
στένεις· ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε.

54 (ψ.) Hsch. ψ 39 59 sch. rec. Ar. Eq. 759 60 Orus ap. Reitz. Gesch. 340.2, Io. Pediasimus in [Hes.] Sc. 271 64–5 sch. Ar. Ran. 814

---

48 λαβεῖν L 49 ἐπράχθη Σ*Ω*: corr. Stanley[1] 50 οὔτίς G **51 incipit Y** τ' οὐδὲν *μ*Lc[a]?: δ' οὐδὲν anon.[6] 52 δεσμὰ τῶδε *γ*(τούτω O) W*εκ* 54 ψάλια· M 55 βαλών Pearson[1], νυν Blaydes[2]: λαβών νιν *Ω* (νιν et Σ) 59 πόρους sch. Ar. (ex Ar.): τρόπον O[×]Lc 60 ἦδέ M, ἤδέ Rc, ἡδέ D δυσεκχύτως Orus (cod.) 61 νῦν *Ω* 64 νυν Blaydes[2] 66 ὑποστένω M[a2] O 67 δ'οὖν Q[c] *λ*

ΗΦ. ὁρᾶις θέαμα δυσθέατον ὄμμασιν;
ΚΡ. ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.
ΗΦ. δρᾶν ταῦτ' ἀνάγκη· μηδὲν ἐγκέλευ' ἄγαν.
ΚΡ. ἦ μὴν κελεύσω κἀπιθωΰξω γε πρός.
χώρει κάτω, σκέλη δὲ κίρκωσον βίαι.
ΗΦ. καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῶι πόνωι.
ΚΡ. ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας,
ὡς οὐπιτιμητής γε τῶν ἔργων βαρύς.
ΗΦ. ὅμοια μορφῆι γλῶσσά σου γηρύεται.
ΚΡ. σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχυτῆτα μὴ'πίπλησσέ μοι.
ΗΦ. στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει.
ΚΡ. ἐνταῦθα νῦν ὕβριζε καὶ θεῶν γέρα
συλῶν ἐφημέροισι προστίθει. τί σοι
οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
ψευδωνύμως σε δαίμονες Προμηθέα
καλοῦσιν· αὐτὸν γάρ σε δεῖ προμηθίας,
ὅτωι τρόπωι τῆσδ' ἐκκυλισθήσηι τέχνης.

69 cf. Christ. Pat. 1079; (θέαμα) cf. Hsch. θ 163 77 Eu. 1629.12, 1827.46 79–80 Eust. Macremb. 6.14.7. 81 (στείχωμεν) Hsch. (Cyr.) σ 1718 85–6 resp. auctor versuum in Y Ya Yd Ξa post fabulam traditorum (Herington Scholia p. 241, (c) 4); 86 (αὐτόν σε –) Eu. 1497.43

---

69–70 ὁρῶ ... ὁρᾶις Briggs (ὁρῶ in 69 iam Bourdelot) 71 πλευρὰς O*μ* 73 γε] δὲ B + *δ*: σε OK 75 χρόνῳ O + *λ* 76 νυν Blaydes[2] 77 τῶνδ' Blaydes[7] 61 78 ὁμοῖα Nc*μ* γαρύεται *a* Q$^{2}$K 80 τραχύτητα proparox. fere *Ω* (θρασύ- K + XR Eust. Macr.): corr. Dind.[12] (cf. Wackernagel Kl. Schr. 1116) 82 γέρας *γ* 84 ἀπαλλάξαι *λ* 86 προμηθίας (Elmsley[1] 228) legit auctor versuum post fabulam traditorum: προμηθέως *Ω* Eust. cf. ad Supp. 700 87 τύχης Q$^{2γρ}$ *λ* (non Θ)

ΠΡΟΜΗΘΕΥΣ

ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί
ποταμῶν τε πηγαὶ ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα παμμήτωρ τε γῆ,
καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.
δέρχθηθ' οἵαις ἀικείασιν διακναιόμενος
τὸν μυριέτη χρόνον ἀθλεύσω·
τοιόνδ' ὁ νέος ταγὸς μακάρων
ἐξηῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ.
φεῦ φεῦ· τὸ παρὸν τό τ' ἐπερχόμενον πῆμα στενάχω.
ποῖ ποτε μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι;

καίτοι τί φημι; πάντα προυξεπίσταμαι
σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι ποταίνιον
πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρή
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
τὸ τῆς ἀνάγκης ἐστ' ἀδήριτον σθένος.
ἀλλ' οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας

90 (ἀνήρ.) Phot. α 1931; (γέλ.) Poll. 6.200 102 (ποτ.) Hsch. π 3116 105 (ἀδήρ.) Hsch. (Cyr.) α 1101

---

88 δῖος *κ*L: διὸς cett. 89 ῥευμάτων K$^{\gamma\rho}$ Rb$^{\gamma\rho}$ 90 παμμήτωρ M*a*D[a]?: παμμῆτόρ cett. 92 θεός] κακῶς *a* (non Θ) 93 ᾀκείαισιν Porson[7] 457: αἰκίαισι fere *Ω* (ἀνίαισι W*ε*, ἀνοίαισι Y) 95 μυριέτη U$^{\times}$, Blaydes[8] 24 (cf. Chandler Gr. Accent.[2] § 703): -ετῆ *Ω* ἀθλεύσω MV+: ἀεθλ- cett. 97 ἐξεῦρ' *Ω*: corr. Dind.[4] 98 φεῦ φεῦ MΦ*a*B + O + D*λ*: αἶ αἶ vel αἲ αἲ YW*εκ* 99 πῆ *λ* πότε Wecklein[4] 100 τέρματα MI[a]?B*λ*: τέρμα cett. ἐπιτεῖλαι Σ*Ω*: ἐπικέλσαι (cf. 183) Coenen 84: ἐποκεῖλαι Blaydes[2] 102 τορῶς *λ* 104 γιγνώ- M: γινώ- cett.

οἷόν τέ μοι τάσδ' ἐστί. θνητοῖς γὰρ γέρα
πορὼν ἀνάγκαις ταῖσδ' ἐνέζευγμαι τάλας·
ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρός
πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
πάσης βροτοῖς πέφηνε καὶ μέγας πόρος.
τοιῶνδε ποινὰς ἀμπλακημάτων τίνω
ὑπαίθριος δεσμοῖς ⟨πε⟩πασσαλευμένος.

ἆ ἆ ἔα ἔα·
τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής;
θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη;
ἵκετο τερμόνιόν ⟨τις⟩ ἐπὶ πάγον
πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
ὁρᾶτε δεσμώτην με, δύσποτμον θεόν,
τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς
  δι' ἀπεχθείας ἐλθόνθ' ὁπόσοι
  τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
  διὰ τὴν λίαν⌋ φ⌊ιλότ⌋ητα β⌊ροτ⌋ῶν.

109–10 (– κλοπ.) sch. Od. 5.490; (– πηγήν) Hsch. ν 83   121–2 (ὅσοι – εἰσοιχν.) Eu. 1483.39

---

107 post ἐστί nescio an exciderit aliquid, cf. Σ iuxta 108/9 ὃ ὁρῶν ὁ Ζεὺς οὐκ ἐπιλήσεται τῆς εἰς ἐμὲ ὀργῆς   γέρας Y   108 ἐνέζευγμαι (cf. 579) MΦaB + D: ἐπέζ- γWεQ: ὑπέζ- KL   111 πέφυκε(ν) OQ   112 τοιῶνδε (cf. 8.620) Pearson[1]: τοιάσδε Ω (άσ ex corr. R)   113 ὑπαιθρίοις Blomf.[1]   δεσμοῖσι Ω: corr. Haupt   πεπασσαλευμένος Aur.[1]: πασσαλευμένος $M^1$K+, -λεύμενος $M^a$ $Q^{2γρ}$: -λευτὸς fere cett., cui ⟨ὢν⟩ add. Turn.: προυσελούμενος (438) M. Schmidt[7] 223   116 θεόσυτος YX: θεόσσυτος cett.   117 τερμόνειον FbLh   ⟨τις⟩ Pauw   119 θεῶν $B^t$ + $D^{ss}$Kλ   122 εἰσοιχνοῦσιν Elmsley[1] 229   123–34 frustula Π6

⌊φεῦ φεῦ, τί π⌋οτ' αὖ κινάθισμα κλύω
⌊πέλας οἰω⌋νῶν;
⌊αἰθὴρ δ' ἐλα⌋φραῖς πτερύγων ῥιπαῖς ⌊ὑποσυρί⌋ζει·
⌊πᾶν μοι φοβερ⌋ὸν τὸ προσέρπον.

ΧΟΡΟΣ

⌊μηδὲν φο⌋βηθῇς· φιλία ⌊γὰρ ἅδε τ⌋άξις — str. 1
⌊πτερύγων θο⌋αῖς ἁμίλλαις
⌊προσέβα τόν⌋δε πάγ⌊ο⌋ν, ⌊πα⌋τρῴια⌊ς
μόγις παρειποῦ⌋σα φ⌊ρένα⌋ς·
⌊κραιπνοφόροι δέ μ'⌋ ἔ⌊πεμψα⌋ν α⌊ὖραι.
κτύπου γὰρ ἀχὼ χάλυβος διῇξεν ἄντρων
μυχόν, ἐκ δ' ἔπληξ⌋έ ⌊μου τὰν θεμερῶπιν αἰδῶ·
σύθην δ' ἀπέδιλος ὄχωι πτερωτῶι.

ΠΡ. αἰαῖ αἰαῖ,
τῆς πολυτέκνου Τηθύος ἔκγονα
τοῦ περὶ πᾶσάν θ' εἱλισσομένου
χθόν' ἀκοιμήτωι ῥεύματι παῖδες πατρὸς Ὠκεανοῦ,
δέρχθητ', ἐσίδεσθ' οἵωι δεσμῶι προσπορπατὸς
τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
φρουρὰν ἄζηλον ὀχήσω.

ΧΟ. λεύσσω Προμηθεῦ, φοβερὰ δ' ἐμοῖσιν ὄσσοις — ant. 1
ὀμίχλα προσῇξε πλήρης

124 (κινάθ.) Hsch. κ 2714

---

124 φεῦ φεῦ et [$\Pi_6$]Φ: αἶ αἶ P[γρ]La 128 φιλίᾳ TM[2] ἥδε *Ω* (ἦδε M): corr. Hermann[32] 131 μόλις *γ* (periit $\Pi_6$) 133 διῇκεν Lc[t] (periit $\Pi_6$) 134 θεμερῶπιν M: θερμερῶπιν fere cett., cf. Σ 136 αἶ sive αἴ quater PT: ter M*a*: bis cett. 138 δ'εἱλ- L*μ*, θ'ἱλ- K: τ'εἱλ- cett. 140 παῖδες et Ὠκεανοῦ del. Weil[9] 141 ἐσίδεσθ' M*a*: ἐσίδεσθέ με fere cett. (ἐπίδ- *κ*) προσπαρτὸς YV*λ*: πρὸσπατρὸσ M 145 προσᾶξε O[a]?

δακρύων σὸν δέμας εἰσιδούσαι
πέτραι προσαυαινόμενον
ταῖσ⟨δ'⟩ ἀδαμαντοδέτοισι λύμαις.
νέοι γὰρ οἰακονόμοι κρατοῦσ' Ὀλύμπου,
νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς ἀθέτως κρατύνει·
τὰ πρὶν δὲ πελώρια νῦν ἀϊστοῖ.

ΠΡ. εἰ γάρ μ' ὑπὸ γῆν
νέρθέν θ' Ἅιδου τοῦ νεκροδέγμονος
εἰς ἀπέραντον Τάρταρον ἧκεν,
δεσμοῖς ἀλύτοις ἀγρίως πελάσας,
ὡς μήτε θεὸς μήτέ τις ἄλλος τοῖσδ' ἐπεγάθει·
νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας
ἐχθροῖς ἐπίχαρτα πέπονθα.

ΧΟ. τίς ὧδε τλησικάρδιος str. 2
θεῶν, ὅτωι τάδ' ἐπιχαρῆ;

150 (ἀθέτως) Hsch. α 1569 (Αἰσχ. Προμ. Δεσμ.) 155 (δ. ἀλ.) Christ. Pat. 2531 158 (κήνυγμα) Hsch. κ 2521, Phot.

---

146 εἰσιδοῦσι Y[a] + δ[t] Q K[γρ] Θ[γρ]: εἰσιδούσας Pallis 147 πέτρα(ι) Φ Y W ε κ: πέτραις M cett. 148 ταῖσδ' Vict.: ταῖς Ω (ταῖcἀδαμ̃- [δα] M, sc. ταῖcάδαμ-? [δ'α]): τᾶιδ' Elmsley[1] 229 -δέτοισι L[c]: -δέτοις Ω 150 ἀθέσμως Ω: corr. Bentley[1] 77 ex Hsch. 152 ante h. v. ⟨φεῦ φεῦ·⟩ Wecklein[11] 153 τ'ἀΐδου Ω: corr. Lc 154 ἀπέρατον M[a] N[c] Nc 155 ἀγρίως et ΦΘ: ἀγρίοις M B[t] + 156 ὡς μήτε Nc Fd T, ὡς μήτέ τις L: ὡς μήποτε fere cett. (μή om. I[a]) μήτέ τις sic I B + O ε K λ 157 ἐπεγάθει Wecklein[20] 24: ἐπεγήθει M I Y + W Va (evan. V) κ: ἐπιγήθει B λ (-θη L): ἐγεγήθει D N: ἐπεγεγήθει μ, ἐπιγεγήθη O (-θει O[2]): incertum an huc pertineat Hsch. (Cyr.) ἐγεγήθει· ἔχαιρεν 158 κήνυγμα Hsch. Phot. cf. ad Cho. 196 159 ἐπίχαρτα M B[γρ] O[1] W N[a] κ λ Θ: ἐπίχαρμα Φ a B + γ D ε

τίς οὐ ξυνασχαλᾶι κακοῖς
τεοῖσι, δίχα γε Διός; ὃ δ' ἐπικότως ἀεί
θέμενος ἄγναμπτον νόον
δάμναται Οὐρανίαν γένναν, οὐδὲ λήξει
πρὶν ἂν ἢ κορέσηι κέαρ ἢ παλάμαι τινὶ
τὰν δυσάλωτον ἕληι τις ἀρχάν.

ΠΡ. ἦ μὴν ἔτ' ἐμοῦ καίπερ κρατεραῖς ἐν γυιοπέδαις
αἰκιζομένου χρείαν ἕξει μακάρων πρύτανις,
δεῖξαι τὸ νέον βούλευμ' ὑφ' ὅτου
σκῆπτρον τιμάς τ' ἀποσυλᾶται.
καί μ' οὔτι μελιγλώσσοις πειθοῦς ἐπαοιδῆσιν
θέλξει, στερεάς τ' οὔποτ' ἀπειλὰς
πτήξας τόδ' ἐγὼ καταμηνύσω,
πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσηι
ποινάς τε τίνειν τῆσδ' αἰκείας ἐθελήσηι.

ΧΟ. σὺ μὲν θρασύς τε καὶ πικραῖς ant. 2
δύαισιν οὐδὲν ἐπιχαλᾶις,
ἄγαν δ' ἐλευθεροστομεῖς·
ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος,
δέδια δ' ἀμφὶ σαῖς τύχαις,

163 cf. Hsch. ε 4884

---

162 συν- O  163 γε Διός] γ'ἑνὸς B + *δ*, cf. Φ μόνου τοῦ Διός  ἀεὶ Y K: αἰεὶ cett.  164 τιθέμενος Pauw, cf. ad 182  ἄγναπτον YD  168 ἔτ' ἀπ' M: ἔτ' ἐπ' *δ*  169 γ'αἰκιζ- *ξ*  170 ἀφ' $M^{a2}F^{a}$  172 μ' οὔτοι M O: τοι μ'οὐ B*δ*: μ' οὔτε Porson[6] 149  μελιγλώσσης BY: -γλώσσου L  ἐπαοιδαῖσι fere *Ω* (ἐπ'ἀ- YD + V + *κ*L)  173 fort. στερράς, cf. 1052  176 τέ μοι vel τ'ἐμοὶ τίνειν *Ω*: corr. T  177 τῆσ M  αἰκείας Xc (ᾀκ- Porson[7] 457): αἰκίας *Ω*  178 κἀν anon.[3]  181 ἐρέθισε Turn.  182 δ' T: γὰρ *Ω*  σὰς τύχας V $N^{c}Q^{ss}$

ποῖ ποτε τῶνδε πόνων χρή σε τέρμα κέλσαντ'
  ἐσιδεῖν· ἀκίχητα γὰρ ἤθεα καὶ κέαρ
  ἀπαράμυθον ἔχει Κρόνου παῖς.

ΠΡ. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῶι τὸ δίκαιον ἔχων·
  {Ζεύς· ἀλλ'} ἔμπας ⟨δ'⟩, οἴω, μαλακογνώμων
  ἔσται ποθ', ὅταν ταύτηι ῥαισθῆι·
  τὴν δ' ἀτέραμνον στορέσας ὀργὴν
  εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
  σπεύδων σπεύδοντί ποθ' ἥξει.

ΧΟ. πάντ' ἐκκάλυψον καὶ γέγων' ἥμιν λόγον,
ποίωι λαβών σε Ζεὺς ἐπ' αἰτιάματι
οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
δίδαξον ἥμας, εἴ τι μὴ βλάπτηι λόγωι.
ΠΡ. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
ἄλγος δὲ σιγᾶν· πανταχῆι δὲ δύσποτμα.
  ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου
στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,

194 (αἰτ.) cf. Antiatt. AB 78.25

---

183 ποῖ Blaydes[2]: ὅποι Φ K *μ*: ὅπαι M I, ὅπα B + *γ* D L, ὅπη W V + Q +: πᾶ T   184 ἐπιδεῖν Arsenius   185 ἀπαράμυθον B (-μύθητον) + $N^2$ $Q^{\times}$ $K^c$ *λ*: ∗παρά- O: οὐ παρά- cett.   186 οἶδ' ὡς O   τραχὺς M Φ I $B^t$ + $W^{\gamma\rho}$ D Θ: θρασὺς (178) cett.   καὶ B + D: τε καὶ cett.   τραχύς γ' οἶδ' ὅτι Headlam[19]   187 Ζεύς· ἀλλ' del. Bothe[2]: ἔμπας del. Pearson[1]: ὀΐω (sic *Ω*: ἰὼ M) del T ⟨δ'⟩ Griffith[2]   189 ἔσταί I W V + K Fb G   τόθ' Ya   γ' ἄτηι Burges[10]   ῥαισθῆ(ι) $M^c$ *γ* W *εκ* Θ: ῥωσθῇ $M^a$ Φ: ῥαιχθῇ B +, ῥεχθῇ I $B^s$ + $O^{mg}$ $W^{\gamma\rho}$ D L   190 τ' Y D   στορέσας τ' O   191 ἀρθμὸν $M^c$ $I^a$ $O^c$ $W^{c?}$ $V^*$ + Θ, ἀρμὸν D: ἀριθμὸν cett.   192 τόθ' Porson[6] 150   193 ἡμῖν *Ω*   λόγω (196) $B^{ss}$ $Ha^{ss}$   196 ἡμᾶς *Ω*   198 πανταχοῦ Y K *λ*   200 δ' Y

οἳ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἳ δὲ τοὔμπαλιν
σπεύδοντες ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν,
ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανάς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν
ᾤιοντ' ἀμοχθεὶ πρὸς βίαν τε δεσπόσειν·
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις
καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ἧι κρανοῖτο προυτεθεσπίκει,
ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερόν
χρείη, δόλωι δὲ τοὺς ὑπερσχόντας κρατεῖν.
τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ' εἶναι προσλαβόντα μητέρα
ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν·
ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθής

208 (ἀμοχθί) Phot. α 1238    210 confuse Tz. Exeg. Il. p. 52.27 Herm.

---

201 ἕδρης M*γδε*Q    202 ἀνάσση O + K, -ει Y$D^{t}$    203–238 deest B    204 τἄριστα $O^{\gamma\rho}$*δ*    206 αἱμύλους *κ*    208 ἀμοχθὶ M$V^{?*}$ Phot.    209 ἐμοὶ ΣM etc.: ἐμὴ $I^{2}O^{1}Y^{1}W^{ss}D^{ss}Q^{t}L^{c?}$, ἡμὴ KLc. cf. ad 874    211 κρανοῖτο Elmsley[1] 227: κραίνοιτο *Ω*    213 χρείη Pearson[1]: χρεῖ'ἦ *αλ*$M^{2}$: χρὴ,ἢ $I^{\gamma\rho}$ et fere cett.    δὲ *αλ*$M^{2}$: τε $I^{\gamma\rho}$Y + *δ*: om. cett.    ὑπερέχοντας *Ω* (-έξ- KLc): corr. Musgrave. cave ne -εχόντασ in M scriptum esse credas    217 προσλαβόντα *κ*: -όντι Σ cett.    219 μελαμβαθὴς M, μελανβαθὴς *α*: μελεμβαθὴς fere cett. (-βαφὴς O + D +, -βαθὺς KL)

κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος
κακῆσι τιμαῖς ταῖσδέ μ' ἐξημείψατο.
ἔνεστι γάρ πως τοῦτο τῆι τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
  ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῶιον εἰς θρόνον
καθέζετ', εὐθὺς δαίμοσιν νέμει γέρα
ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο
ἀρχήν· βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀϊστώσας γένος
τὸ πᾶν ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ,
ἐγὼ δ' ἐτόλμησ'· ἐξελυσάμην βροτούς
τὸ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.
τῶ τοι τοιαῖσδε πημονῆσι κάμπτομαι,
πάσχειν μὲν ἀλγεινῆσιν, οἰκτρᾶσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτωι προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς

**230** (διεστ.) Hsch. δ 1680

---

**223** κακῆσι Lc, -αῖσι *Ω*   τιμαῖς *δ*: ποιναῖς M Φ cett.   ἀντημείψατο (cf. Cho. 123. Sept. 1049) $\zeta^{\gamma\rho}$   **224** sq. del. Nauck$^{1}$ 192   **229** καθίζετ' *a* Y W   **234** τοῖσιν||| M, ν ex corr. Y: τοισίδ' Elmsley$^{1}$ 230. cf. Eur. Med. 1295$^{vl}$   **235** δ' ἐτόλμησ' $\Sigma^{\gamma\rho}$, δὲ τόλμησ' M D$^{t}$ Lb: δὲ τολμῆς (pro -ήεις) $\Sigma^{\gamma\rho}$ I$^{a}$ (-ῆς I$^{\gamma\rho}$): δὲ τόλμης Φ O W V Q (-ᾶς with η above) *λ*: δ' ὁ τόλμης cett. (ὁ gl. est in Φ I O D)   ἐξελυσάμην M Φ *a* L: ἐξερ(ρ)υσάμην cett.: ἐκ δ' ἐλυσάμην Hutchinson$^{1}$ 2   **236** τὸ Σ M L: τῶ O +: τοῦ Φ cett. (cf. Hdt. 1.86.2)   **237** πημονῆσι *a*: -αῖσι fere cett.   κνάπτομαι Musgrave, cf. 306.513$^{vl}$   **238** -αῖσι(ν) bis *Ω*   **239 redit B**   **240** ἀλλ' ἀνηλεῶς codd. praeter E

ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.
ΧΟ. σιδηρόφρων γε κἀκ πέτρας εἰργασμένος
ὅστις Προμηθεῦ σοῖσιν οὐ ξυνασχαλᾶι
μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρῃζον, εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ.
ΠΡ. καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.
ΧΟ. μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
ΠΡ. θνητούς γ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
ΧΟ. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
ΠΡ. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
ΧΟ. μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
ΠΡ. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
ΧΟ. καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
ΠΡ. ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
ΧΟ. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν –
⟨ΠΡ.⟩ αἰκίζεταί γε, κοὐδαμῆι χαλᾶι κακῶν.
⟨ΧΟ.⟩ οὐδ' ἐστὶν ἄθλου τέρμά σοι προκείμενον;
ΠΡ. οὐκ ἄλλο γ' οὐδέν, πλὴν ὅταν κείνωι δοκῆι.
ΧΟ. δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾶις ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες, οὔτ' ἐμοὶ λέγειν
καθ' ἡδονήν, σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μέν
μεθῶμεν, ἄθλου δ' ἔκλυσιν ζήτει τινά.

**242–4** (– συνασχ. κακοῖς) confuse sch. Greg. Cor. p. 110; **242** Eu. 1940.59 **250** resp. Max. Tyr. p. 9.11 H.

---

**242** γε (cf. 953) West[7]: τε *Ω* Eust.: δὲ R: τοι Wil.[19] **243** ξυν- XcGT: συν- *Ω* sch. Greg. **244** κακοῖς (cf. 161.303) sch. Greg. **245** ἀλγύνθην M*a*B + OδV+ **246** μὴ Burges[2] 32 φίλοις γ' Wecklein[4] ἐλεεινὸς *Ω*: corr. Porson[2] viii **248** γ' *a*N: τ' MB + WV + κL: δ' O: om. Y + D γε παύσας Hermann[32] **253** φλογωπὸν σπέρμ' Weil[15] **256** Prometheo reddidit Welcker[1] 62, [2]69 γε Ribbeck: τε fere *Ω* (σε OQ, om. Y) **257** ἄθλων *a* τέρμά L, τερμά M **258** ἄλλοτ' *a*

ΠΡ. ἐλαφρόν, ὅστις πημάτων ἔξω πόδα
ἔχει, παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'. ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην·
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι,
θνητοῖς δ' ἀρήγων αὐτὸς ηὑρόμην πόνους·
οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίασί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις
τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ' ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ', ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πίθεσθέ μοι, πίθεσθε, συμπονήσατε
τῶι νῦν μογοῦντι· πάντά τοι πλανωμένη
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.

ΧΟ. οὐχ ἀκούσαις ἐπεθώϋξας τοῦτο Προμηθεῦ·
καὶ νῦν ἐλαφρῶι ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ'

**266** (ἑκὼν ἑκών) Tz. Hist. 1.284 272 (π. δ. β.) Io. Alex. p.36 (Hdn. I 502.15 L.); (πεδοῖ) Eu. 153.34, 1839.56, cf. 471.44.

---

**264** sq. τὸν ... πράσσοντ' Pearson[1] (cf. Trag. adesp. 342): τοὺς ... πράσσοντας *Ω*, quo servato εὖ pro ἐγὼ Elmsley[1] 230 **267** δ' om. M L ηὑρόμην Lh: εὑρ- cett. **268 incipit H** μήντοι *β* W V Q: μέντοι *γ* D *λ*: μὴν *a* τοίαις γ' ... ποιναῖσι Johansen[5] II 405 τοίαισί fere *Ω* **269** κατισχναν- H[1]: κατισχαν- M Φ cett. πεδαρσίαις M Xc: πεδάρσιον (cf. 113) Toup IV 88 **271** δύρεσθ' M: 'δύρ- fere cett. (ὀδυρ- *β*) **272** πέδοι M[c] Hdn.: πεδοῖ M[a] cett. Eust. τύχας] βλάβας Σ[γρ] **274** πίθεσθέ μοι πίθεσθε Elmsley[1] 231: πείθεσθέ μοι πείθεσθε *Ω* **275** πάντα Herwerden[5] 121: ταῦτά *Ω*: ταὐτά Σ: possis μογ. ταῦτ', ἐπεὶ **276** πρὸς ἄλλον ἄλλη *δ*[ss] (W[ss]: ἄλλοντ'ἄλλη D) **277** οὐκ ἀκούσαις *Ω* **279** κραιπνόσυτον K La Lb: -όσσυτον *Ω* θῶκον B[1] *γ* N[a2] Q[ss] K *λ* Θ

αἰθέρα θ' ἁγνὸν πόρον οἰωνῶν
ὀκριοέσσηι χθονὶ τῆιδε πελῶ·
τοὺς σοὺς δὲ πόνους χρήιζω διὰ παντὸς ἀκοῦσαι.

ΩΚΕΑΝΟΣ
ἥκω δολιχῆς τέρμα κελεύθου
διαμειψάμενος πρὸς σὲ Προμηθεῦ,
τὸν πτερυγώκη τόνδ' οἰωνὸν
γνώμηι στομίων ἄτερ εὐθύνων·
ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως ἐπαναγκάζει,
χωρίς τε γένους οὐκ ἔστιν ὅτωι
μείζονα μοῖραν νείμαιμ' ἢ σοί.
γνώσηι δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην χαριτογλωσσεῖν
ἔνι μοι· φέρε γὰρ σήμαιν' ὅτι χρή σοι ξυμπράσσειν·
οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι.
ΠΡ. ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ' ἄντρα τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν; ἦ θεωρήσων τύχας
ἐμὰς ἀφῖξαι καὶ ξυνασχαλῶν κακοῖς;

293–4 (γνώσηι–ἔνι μοι) Ath. 165c

---

281 ὀκρυοέσση *β*O + VN[a]*κ* 286 πτερυγωκῆ *Ω*: corr. Blaydes[7] 64 288 συν- M*βδ*: ξυν- cett. 289–339 deest W 289 συγγενὲς *a*K 290 ἐπαναγκάζει (cf. 671) Blaydes[2]: ἐσαναγκάζει fere *Ω* 292 νέμοιμ' O*εκ*L 293 ἔτυμ' M*a*H[a] Ath.: ἐτήτυμ' (vel -μα) fere cett. ante χαριτ. habent σὲ τὸ MRb[c]: σὲ I*β*YD + *ε*Q[r]LRb[a]: σοὶ cett.: om. T Ath. 295 συμπράττειν *Ω*: corr. Brunck[1] 296 ἐρεῖς M*aβ*DL: φὴς vel φῆς Φ?B[γρ] cett. 303 ξυν- Y*λ*: συν- cett.

δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
τὸν ξυγκαταστήσαντα τὴν τυραννίδα,
οἵαις ὑπ' αὐτοῦ πημονῆσι κάμπτομαι.
ΩΚ. ὁρῶ Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῶιστα, καίπερ ὄντι ποικίλωι.
γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστέ σοι τὸν νῦν ὄχλον
παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
ἀλλ' ὦ ταλαίπωρ' ἃς ἔχεις ὀργὰς ἄφες,
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης Προμηθεῦ τἀπίχειρα γίγνεται.
σὺ δ' οὐδέπω ταπεινός, οὐδ' εἴκεις κακοῖς,
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις;
οὔκουν ἔμοιγε χρώμενος διδασκάλωι
πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
  καὶ νῦν ἐγὼ μὲν εἶμι καὶ πειράσομαι
ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων·
σὺ δ' ἡσύχαζε μηδ' ἄγαν λαβροστόμει.

323 cf. Zenob. vulg. 5.70    327 (μὴ λαβρ.) sch. Nic. Al. 160a

---

305 ξυγ- Brunck[1]: συγ- *Ω*    306 πημοναῖσι *Ω*    κάπτομαι B: κνάπτομαι Blaydes[2]. cf. ad 237    309 γίγνωσκε M: γίν- cett. μεθάρμοσον *β* Y D *κ*: μεθάρμοζε O    312 ἀπωτέρω *a* O    313 ὥστέ sic *a* B O *ε* K *λ*    ὄχλον Doederlein[2] 393: χόλον *Ω*    314 μόχθον H B[ss] O[a] + D L[a]?    319 γίνεται *Ω*: corr. *ξ*[c] G    320 κακῶν *β*    321 προσβαλεῖν La E    327 βαρυστόμει *a*

ἦ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι
γλώσσηι ματαίαι ζημία προστρίβεται;
ΠΡ. ζηλῶ σ' ὁθούνεκ' ἐκτὸς αἰτίας κυρεῖς,
πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
καὶ νῦν ἔασον μηδέ σοι μελησάτω·
πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
πάπταινε δ' αὐτὸς μή τι πημανθῆις ὁδῶι.
ΩΚ. πολλῶι γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς
ἢ σαυτόν· ἔργωι κοὐ λόγωι τεκμαίρομαι.
ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσηις·
αὐχῶ γὰρ αὐχῶ τήνδε δωρειὰν ἐμοί
δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων.
ΠΡ. τὰ μέν σ' ἐπαινῶ κοὔ τι μὴ λήξω ποτέ,
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις· ἀτάρ
μηδὲν πόνει· μάτην γὰρ οὐδὲν ὠφελῶν
ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
ἀλλ' ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων·
ἐγὼ γὰρ οὔ, κεἰ δυστυχῶ, τοῦδ' οὕνεκα
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.

329 Stob. 3.36.17, Men. Mon. 169 J.

---

328 ἦ οὐκ M*a*β D Q$^{2}$K: ἦὐκ *μ*: οὐκ L ὅτι] possis ὅση 329 προσγίνεται (contra testes) O$^{gl}$ Y$^{gl}$ ε Q$^{2γρ}$ **331** male quadrat cum 234; varie temptatus μετασχεῖν (Weil$^{9}$) ἴσα Zakas 332 μηδέ *a* D$^{c?}$ V + : μηδέν cett. 333 πείθεις M 337 ὁρμωμένωι Hartung 338 δωρεὰν *Ω*: corr. von Bamberg **340 redit W** κοὔ τι μὴ Nauck$^{8}$ 184 (γ' οὔ τι μὴ iam Burges$^{2}$ 32): κοὐδὲ μὴ M*a*HY*δε*Q$^{a}$: κοὐ μὴ δὲ O: κοὐ μὴ B: κοὐδαμῆ *κλ* 341 προμηθείας *a* 343 θέλοις β L 345 οὐ κεἰ Q Lc (cf. Soph. Ai. 692. Denniston$^{3}$ 302): οὐκ εἰ plerique (εἰ tantum β O$^{c}$, κεἰ D$^{a}$ Q$^{c}$, εἰ καὶ W) οὕνεκα Lb: εἵνεκα *Ω* (εἵνεκ' οὐ vel εἵνεκα | οὐ β W Q$^{c}$)

οὐ δῆτ', ἐπεί με καὶ κασιγνήτου τύχαι
τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονός
ὤμοις ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
ἄντρων ἰδὼν ὤικτιρα, δάϊον τέρας
ἑκατογκάρανον, πρὸς βίαν χειρούμενον,
Τυφῶνα θοῦρον, †πᾶσιν ὃς ἀντέστη† θεοῖς,
σμερδνῆσι γαμφηλῆσι συρίζων φόβον,
ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίαι·
ἀλλ' ἦλθεν αὐτῶι Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων

349–50 Plut. De facie 6.923b; (κίονα) Eu. 1389.62; (οὐκ –) Tz. Epist. p. 4.18 L.; (εὐάγκ.) Hsch. ε 6679 355–6 Tz. Theog. 289 et in Lyc. 177; 355 Eu. 579.20; 356 (γοργ.) Hsch. γ 852?

---

347–72 Prometheo continuat M: Oceano trib. Φ cett. (et $M^2$) 347 χαὶ Porson[1] 348 πρὸς] ἐς M*a* ἑσπέροις τόποις Valckenaer[2] ad Hipp. 1053 349 κίων $W^a$?E Plut. (cf. Hdt. 4.184.3; at v. Od. 1.53) 350 ὤμοις et Plut.: ὤμοιν O (idem 424 αἰχμοῖν scripsit) 352 ὤκτειρα *Ω*: corr. Kirchhoff[1] 353 ἑκατοντακάρηνον fere *Ω* (-τοντο- MB, -κάρανον $M^s$NcX): corr. Pauw (ἑκατογκάρηνον), Blomf.[1] 354 πᾶσιν ὃς M*αβδλ*: ὃς πᾶσιν *γεκ*: πᾶσιν anon.[7]: πᾶσι δ' Minckwitz: ὃς ⟨ ⟩ πᾶσιν Hermann[32]: θεὸς ὃς Headlam[8] 106: possis ὅσπερ (πᾶσιν ὃς) ἀνέστη Wunderlich[2] 27: προύστη Lobeck[1] ad Ai. 1133 355 σμερδνῆσι Eust.: -αῖσι *Ω* Tz. (qui δειναῖσι in Theog. et in Lyc. v.l.) γαμφηλῆσι *βγε* Eust. Tz.: -αῖσι cett. φόβον M*αβ*$W^{ss}$*λ*: φόνον Φ$I^{ss}$$H^1$*γδεκ* Eust. Tz. 357 ἐκπέρσαι θέλων βία W$D^a$, ἐκπέρσαι etiam $Q^1K^t$, θέλων et $D^c Q^{2γρ}$G 358 ἄγριον $Q^{γρ}$ $ξ^{γρ}$ σέλας YXc

κομπασμάτων· φρένας γὰρ εἰς αὐτὰς τυπείς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος.
καὶ νῦν ἀχρεῖον καὶ παράορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζησιν Αἰτναίαις ὕπο·
κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
τῆς καλλικάρπου Σικελίας λευροὺς γύας·
τοιόνδε Τυφῶς ἐξαναζέσει χόλον
θερμοῖς ἀπλάτου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῶι Ζηνὸς ἠνθρακωμένος.
σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
χρήιζεις· σεαυτὸν σῶιζ' ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
ἔστ' ἂν Διὸς φρόνημα λωφήσηι χόλου.
ΩΚ. οὔκουν Προμηθεῦ τοῦτο γιγνώσκεις, ὅτι
ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;

365 sch. Ar. Vesp. 139 a, resp. Eu. 16.40 377–80 vertit Cic. Tusc. 3.76; 378–9 [Plut.] Consol. ad Apoll. 102 b; 378 Men. Mon. 840 J., Eu. 696.33, 1005.21, Georgides in An. Boiss. I 100

---

365 ἰπούμενος M B$^{c}$ sch. Ar. Eust.: ἰπ[[π]]ού- H$^{1}$: ἰπτού- *a*: ὑπνού- *γ*: ἰπνού- vel ἱπνού- cett. (et Θ M$^{2}$): ἰπούμενον Blaydes$^{0}$ ῥίζησιν O + *δ*V +: -αισιν fere cett. sch. Ar. 367 ἔνθεν δ' N*μ* 369 λευροὺς M*γ*: -ὰς cett. 370 τυφῶς *a*: -ὼς cett. 371 ante 370 Fritzsche θερμοῖς V +: -ῆς Φ cett. ἀπλάτου (cf. Pind. Pyth. 1.21) Blomf.$^{1}$: ἀπλάστου I$^{a}$ Ga$^{a}$ F$^{a}$: ἀπλήστου *Ω* πυριπνόου *δ* 377 γιγν- M: γιν- cett. 378 ὀργῆς et Cic.: ψυχῆς testes ceteri et Rb$^{γρ}$

ΠΡ. ἐάν τις ἐν καιρῶι γε μαλθάσσηι κέαρ
καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνηι βίαι.
ΩΚ. ἐν τῶι προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα
ὁρᾶις ἐνοῦσαν ζημίαν; δίδασκέ με.
ΠΡ. μόχθον περισσὸν κουφόνουν τ' εὐηθίαν.
ΩΚ. ἔα με τῆιδε τῆι νόσωι νοσεῖν, ἐπεί
κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν.
ΠΡ. ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.
ΩΚ. σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
ΠΡ. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάληι.
ΩΚ. ἦ τῶι νέον θακοῦντι παγκρατεῖς ἕδρας;
ΠΡ. τούτου φυλάσσου μή ποτ' ἀχθεσθῆι κέαρ.
ΩΚ. ἡ σή Προμηθεῦ ξυμφορὰ διδάσκαλος.
ΠΡ. στέλλου, κομίζου, σῶιζε τὸν παρόντα νοῦν.
ΩΚ. ὁρμωμένωι μοι τόνδ' ἐθώϋξας λόγον·
λευρὰν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
τετρασκελὴς οἰωνός· ἄσμενος δέ τἄν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

ΧΟ. στένω σε τᾶς οὐλομένας τύχας Προμηθεῦ· str. 1
δακρυσίστακτον ἀπ' ὄσσων

383 (κουφ. –) resp. Eu. 1173.56

---

379 ὅταν [Plut.] 381 προμηθεῖσθαι HO$^{a}$WQ$^{a2}$, cf. Σ προνοεῖσθαι 384 τήνδε τὴν νόσον G$^{c}$Rb$^{c}$LcR$^{c}$ 385 δοκεῖν φρονεῖν *γδεκλ* 386 δοκήσοι Q$^{a}$K$^{ss}$, δοκείσοι L, δοκεῖ σοι HD$^{ss}$Q$^{c}$ 387 πάλαι H$^{t}$B$^{ss}$ 389 κρατοῦντι (gl. in *β*) *γ*W*εκλ* 390 τοῦτον Naber$^{2}$ 66 391 ξυμ- Brunck$^{1}$: συμ- *Ω* 394 λευρὰν I$^{γρ}$*β*Q$^{1}$: -ὸν MIH$^{ss}$YW$^{t}$VN$^{1}$Q$^{t}$*λ*Θ: -ῶν cett. οἶμον sive οἶμον MI$^{t}$*β*Y + W$^{t}$D$^{t}$VN$^{1}$Q$^{t}$*λ*: οἴμων sive οἴμων I$^{ss}$O*δ*$^{ss}$N$^{t}$Q$^{1}$K ψαίρει MΦ$^{γρ}$*αβ*W$^{γρ}$D$^{t}$K$^{a}$: ψαύει ΦΘI$^{c}$ fere cett. (-οι Y*ε*Q$^{1}$) 395 ἀσμένως Rb$^{a}$ δ'ἔτ'ἂν MIO*κλ* 399 ἀπ' BO: δ'ἀπ' fere cett. (τ'ἀπ' V)

ῥαδινῶν λειβομένα ῥέος παρειὰν
νοτίοις ἔτεγξα παγαῖς.
ἀμέγαρτα γὰρ τάδε Ζεὺς
ἰδίοις νόμοις κρατύνων
ὑπερήφανον θεοῖς τοῖς
πάρος ἐνδείκνυσιν αἰχμάν.

πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα, ant. 1
μεγαλοσχήμονά τ' ἀρχαι-
οπρεπῆ ⟨– ∪ ∪ –⟩ στένουσι τὰν σὰν
ξυνομαιμόνων τε τιμάν·
ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται
μεγαλοστόνοισι σοῖς πή-
μασι συγκάμνουσι θνατοί,

Κολχίδος τε γᾶς ἔνοικοι str. 2
παρθένοι μάχας ἄτρεστοι,
καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
ἔσχατον τόπον ἀμφὶ Μαι-
ῶτιν ἔχουσι λίμναν,

400 cf. Hsch. ρ 219 417 (Σκ. ὅμ.) St. Byz. 578.15

---

400 ῥαδινῶν M*a*H[a]B[r]O[ss]W[ss]D[a]?Q[ss]K[ss]Θ: -νὸν cett.: -νὰν Hartung: δ' ἀδινὸν Weil[9] λειβομένα del. T (∼ 409) 401 νοτίαις Turn. 402 τάδε· Y + ξ Ζεὺς δ' Rob. 404 ὑπερήφανος M[a] τοῖς πάρος θεοῖς YWV + κλ 405 ἐνδείκνυσι(ν) O[a]D: -ύειν M: -ύει *a*O[c]: δείκνυσι(ν) fere cett. (-ύει H[r]) 406 ἧδε Wakefield[1] 93 (debuit ἅδε) 409 lac. stat. Hermann[9] 32/113: ⟨δακρυχέει⟩ (στένουσα) id.[32]: ⟨περθομέναν⟩ Dind.[12]: malim ⟨ῥαιομέναν⟩ cl. 189. 236. Hes. Th. 393 στένουσα *a*O + Nκ 416 μάχαις I[c]βO[2]W[r]εκ: μάχαν Rob. 418 πόρον ΦYWD[ss]εκλ

Ἀραβίας τ' ἄρειον ἄνθος, ant. 2
  ὑψίκρημνον οἳ πόλισμα
  Καυκάσου πέλας νέμουσι,
  δάϊος στρατός, ὀξυπρώι-
  ροισι βρέμων ἐν αἰχμαῖς.

μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις str. 3
δαμέντ' ἀκαμαντοδέτοις Τιτᾶνα λύ-
  μαις ἐσειδόμαν θεόν,
Ἄτλαντος ὑπέροχον σθένος κραταιόν,
⟨ὅς γᾶν⟩ οὐράνιόν τε πόλον
νώτοις ὑποστεγάζει.

⟨Προμηθεῦ, σὰς δὲ γᾶ στένει τύχας,⟩ ant. 3
βοᾶι δὲ ⟨πόνοις ἅμα⟩ πόντιος κλύδων
  ξυμπίτνων, στένει βυθός,

420 ἀραβίας ΣΩ: Χαλυβίας Schütz$^{2}$: Σαρματᾶν Hermann$^{32}$: alii alia. cf. Plaut. Trin. 934 ἔθνος Rc$^{t}$ 421 οἳ ΣΤ: θ' οἳ Ω 422 πύλας Burges$^{10}$ νέμουσι Mβ: νέμονται (412) M$^{gl}$ cett. 425–35 strophas primus constituit Hermann$^{3}$ 11; epodus longior esset iusto, et metra sibi ultra casum respondent, hiantia ubi et sensus 425 ἄλλον M I$^{a}$ O$^{a2}$ Y$^{1}$ δ$^{t}$ V$^{t}$ + λ: -ων Φ cett. 426 ἀδαμαντοδέτοις (148) I$^{a}$ O$^{2}$ contra Φ: ἀκάμαντα δέμας Newman$^{1}$ 14 427 ἐσειδόμαν Hermann$^{32}$: εἰσιδόμαν Ω θεὸν M a O$^{2}$ Y$^{a}$ W$^{ss}$ D$^{t}$ V$^{t}$ N$^{\times}$ K$^{s}$ λ: θεῶν Φ I$^{1}$ cett. 428 Ἄτλαντος Hermann$^{32}$: ἄτλανθ'ὃς αἰὲν fere Ω: Ἄτλανθ' del. Burges$^{5}$ 459 ὑπέροχον β: ὑπείροχον cett. 429 ⟨ὅς γᾶν⟩ Hermann$^{32}$ 430 ὑποστεγάζει B$^{1r}$, cf. Φ βαστάζει: ὑποστενάζει Σ B$^{a}$ cett. 430a ⟨τεοὺς δὲ καὶ γᾶ πόνους στενάζει⟩ vel sim. flagit. Stinton$^{7}$ (responsionem non requirens), quo duce ut supra suppl. West$^{7}$ 431 ⟨πόνοις ἅμα⟩ West$^{7}$ 432 ξυμπίτνων M$^{\times}$ H$^{a}$ +: -πιτνῶν cett. βαθὺς MH, βöθὺς V (βαθὸς Va$^{\times}$)

κελαινὸς {δ'} Ἄϊδος ὑποβρέμει μυχὸς γᾶς,
παγαί θ' ἁγνορύτων ποταμῶν
στένουσιν ἄλγος οἰκτρόν.

ΠΡ. μήτοι χλιδῆι δοκεῖτε μηδ' αὐθαδίαι
σιγᾶν με· συννοίαι δὲ δάπτομαι κέαρ,
ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον.
καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα
τίς ἄλλος ἢ'γὼ παντελῶς διώρισεν;
ἀλλ' αὐτὰ σιγῶ, καὶ γὰρ εἰδυίασιν ἂν
ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
ἀκούσαθ', ὥς σφας νηπίους ὄντας τὸ πρὶν
ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους.
λέξω δέ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος·
οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
κλύοντες οὐκ ἤκουον, ἀλλ' ὀνειράτων
ἀλίγκιοι μορφῆσι τὸν μακρὸν βίον
ἔφυρον εἰκῆι πάντα, κοὔτε πλινθυφεῖς
δόμους προσείλους ἦισαν, οὐ ξυλουργίαν,
κατώρυχες δ' ἔναιον ὥστ' ἀήσυροι
μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις.

437 (δάπτ.) Hsch. δ 253 452–3 ἀήσ. μύρμ. Eu. 1500.28, 1547.22 (Ael. Dion. α 42)

---

433 δ' del. Lachmann[1] 71 435 οἰκτρόν] πικρόν *β*D 438 προυσελ- recc. (SjUa), cf. Σ 438e: προσελ- M$^{s}$I$^{γρ}$*β*O + W$^{ss}$D*ε*Q$^{ct}$K$^{a}$: προσειλ- *a*$^{t}$: προσηλ- M*a*$^{ss}$O$^{2}$YW$^{t}$Q$^{ss}$K$^{ss}$Θ: προσσελ- Q$^{a}$K$^{c}$L 441 εἰδυίαισιν *Ω* 442 δ' εὑρήματα Heath (contra Σ): exspectatur 'beneficia' 445 ἀνθρώπων Σ$^{λ}$ 438a u. v. 446 ἔδωκ' Arsenius 449 ἀλίγκιον *β*YD μορφαῖσι *Ω* βίον] χρόνον H$^{gl}$*γ*W*εκ* 451 προσείλους ΣM$^{s}$I$^{ss}$H$^{ss}$BOW$^{t}$V$^{ss}$N$^{ss}$Q$^{t}$Θ$^{γρ}$: προσήλους cett. 452 ἀήσυροι MI$^{ss}$O$^{t}$W$^{ss}$ Eust.: ἀείσυροι fere cett. (αἰεί- Q$^{a}$K)

ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ' ἀνθεμώδους ἦρος οὔτε καρπίμου
θέρους βέβαιον, ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
ἔπρασσον, ἔστε δή σφιν ἀντολὰς ἐγώ
ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.
καὶ μὴν ἀριθμόν, ἔξοχον σοφισμάτων,
ἐξηῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
μνήμην ἁπάντων, μουσομήτορ' ἐργάνην.
κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα,
ζεύγλησι δουλεύοντα σάγμασίν θ' ὅπως
θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένοινθ'· ὑφ' ἅρμά τ' ἤγαγον φιληνίους
ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
λινόπτερ' ηὗρε ναυτίλων ὀχήματα.
τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ' ὅτωι
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.

454–60 Achilles in Arat. p. 27.11 Maass; 454–59 Stob. 1 prooem. 1; 459–61 Stob. 2.4.2

---

454 οὐκ ἦν γὰρ αὐτοῖς Ach.   τέκμωρ $\zeta^{\gamma\rho}$   455 sq. κάρπιμον θέρος Stob.   458 δύσεις *Ω* Ach.: δδούς Stob.   459 νοσφισμάτων Μ$\Phi^{\gamma\rho}$ contra testes   460 ἐξηῦρον Stob.: ἐξεῦρον *Ω* Ach.   σύνθεσις Stob. cod. opt.: -ιν Stob. cett.   461 μνήμην Μ *a* Stob.: μνήμην θ' Φ cett. et $M^2$   ἐργάνην Μ? Stob.: ἐργάτιν cett. et $M^2$ (-άτην Rc Fd E)   462 πρώτως *β* Y *δ λ*   463 ζεύγλησι (vel -ησι) $H^{ss}$ Y + W N + *κ λ*: -αισι cett.   δουλεύσαντα O: -σοντα Kirchhoff[2]   σάγμασίν Pauw: σώμασί(ν) *Ω*   465 γένοινθ' $Q^a$? *μ*: γένωνθ' fere *Ω* (γίν- $O^a$ V+)   467 -πλαγκτα $M^s$ I $Y^c$ *ε*: -πλακτα cett.   fort. τ', cf. 484 etc.   468 εὗρε *Ω*: corr. Dind.[4]   469 sq. ἐξεῦρον ... αὐτὸς δ' *γ δ ε*

ΧΟ. πέπονθας ἀικὲς πῆμ᾽· ἀποσφαλεὶς φρενῶν
πλανᾶι, κακὸς δ᾽ ἰατρὸς ὥς τις εἰς νόσον
πεσὼν ἀθυμεῖς καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
ΠΡ. τὰ λοιπά μου κλύουσα θαυμάσηι πλέον,
οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ᾽ οὐδέν, οὔτε βρώσιμον,
οὐ χρῖστόν, οὐδὲ πῖστόν, ἀλλὰ φαρμάκων
χρείαι κατεσκέλλοντο, πρίν γ᾽ ἐγώ σφισιν
ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
τρόπους τε πολλοὺς μαντικῆς ἐστοίχισα,
κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρισ᾽ αὐτοῖς ἐνοδίους τε συμβόλους,
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρισ᾽, οἵτινές τε δεξιοὶ φύσιν
εὐωνύμους τε, καὶ δίαιταν ἥντινα
ἔχουσ᾽ ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ ξυνεδρίαι,

474 (ἀθ.) resp. Phot. α 490 480 resp. Eu. 464.37, 1050.49, 1193.22, 1554.46

---

472 ἀεικὲς *Ω*: corr. Dawes 318 473 κακῶς H $B^{a}$ $Q^{a}$? ὅστις $M^{a}$ $I^{t}$ $H^{ss}$ $O^{t}$ $Y^{a}$ $W^{ss}$ *ε* $Q^{2}$ K 475 ἰάσιμον $I^{2γρ}$ $H^{c}$ $O^{ss}$ V + $Q^{t}$ 476 μου M I O: μοι $I^{2}$ cett. 477 πόρους M Φ *a* *β* O $Y^{γρ}$ $W^{ss}$ $Q^{gl}$: δόλους cett. 478 νόσους $I^{t}$ 479 οὔτε $B^{gl}$ $Q^{2γρ}$ $Fb^{ss}$ $Fd^{a}$?: οὐδὲ *Ω* 480 χρηστὸν M $D^{a}$ οὐδὲ] οὐ *β* Y *λ* ποτιστὸν *β* $D^{c}$ *λ* (contra Eust.) 481 γ᾽ M *β* D: om. cett. 483 οἷς O X ἐξαμείβονται $W^{γρ}$ V $N^{ss}$ 484 τε M O: δὲ cett. 490 εὐώνυμοί $W^{ss}$ D 492 θέλγητρα *κ* *λ* ξυνεδρίαι Ξa: συν- *Ω*

σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχουσ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν
χολή, λοβοῦ τε ποικίλην εὐμορφίαν·
κνίσηι τε κῶλα ξυγκαλυπτὰ καὶ μακρὰν
ὀσφῦν πυρώσας δυστέκμαρτον εἰς τέχνην
ὥδωσα θνητούς, καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα πρόσθεν ὄντ' ἐπάργεμα.
τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς
κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,
χαλκόν, σίδηρον, ἄργυρον χρυσόν τε, τίς
φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
οὐδείς, σάφ' οἶδα, μὴ μάτην φλύσαι θέλων.
βραχεῖ δὲ μύθωι πάντα συλλήβδην μάθε·
πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.
ΧΟ. μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.
ΠΡ. οὐ ταῦτα ταύτηι Μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς
δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω·
τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῶι.
ΧΟ. τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;
ΠΡ. Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.
ΧΟ. τούτων ἄρα Ζεὺς ἐστιν ἀσθενέστερος;

499 (πρ. –) Eu. 1430.62, cf. 427.38; Hsch. ε 4216?

---

494 sq. ἔχουσ' … χολή, Wieseler$^{4}$ 386: ἔχοντ' … χολῆς *Ω* 496 συγ- *Ω* 502 σίδαρον M N$^{a}$ τε I: δὲ cett. 504 οἶδ' εἰ *βκλ* φλῦσαι *β*Y$^{?}$ + W K *λ* 505 ταῦτα M *ε* μάθοις *β*D *κ* 507 νῦν *Ω*: corr. Scal.$^{2}$, anon.$^{3}$ 511 που Y *μ* 513 κναμφθεὶς M$^{s}$ I: κναφθεὶς Naber$^{2}$ 66. cf. 237.306 514 τέχναι … ἀσθενέστεραι Q$^{1}$ K$^{s}$

ΠΡ. οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.
ΧΟ. τί γὰρ πέπρωται Ζηνὶ πλὴν αἰεὶ κρατεῖν;
ΠΡ. τοῦτ' οὐκέτ' ἂν πύθοιο· μηδὲ λιπάρει.
ΧΟ. ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.
ΠΡ. ἄλλου λόγου μέμνησθε· τόνδε δ' οὐδαμῶς
καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
ὅσον μάλιστα· τόνδε γὰρ σώιζων ἐγὼ
δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

ΧΟ. μηδάμ' ὁ πάντα νέμων str. 1
θεῖτ' ἐμᾶι γνώμαι κράτος ἀντίπαλον Ζεύς,
μηδ' ἐλινύσαιμι θεοὺς ὁσίαις
θοίναις ποτινισομένα
βουφόνοις παρ' Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον,
μηδ' ἀλίτοιμι λόγοις,
ἀλλά μοι τόδ' ἐμμένοι
καὶ μήποτ' ἐκτακείη.

ἡδύ τι θαρσαλέαις ant. 1
τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις·
φρῖσσω δὲ σὲ δερκομένα
μυρίοις μόχθοις διακναιόμενον ⟨⏓ – ⏑ –⟩.

518 ἐκφύγοι γε M*κ*: -γη γε *a*H + YD + N+: -γη τε B$O^1$WV: -γοι τε $O^a$L 519 ἀεὶ *Ω* 520 οὐκέτ' ἂν *κ*: οὐκ ἂν *β*Y + DN + L: οὐκ ἂν οὖν MOWV+: οὐκ ἄν μου I: οὐκ ἂν ἐκ- *μ*Rc. cf. ad 617 522 τόνδε δ' M*γε*: τόνδ' cett. 523 συγκαλυπτέον $D^{ss}Q^{t}$L (non Θ) 525 καὶ βίας *βγδ* 530 ποτινισσομένα W*ε*: -λισσομένα Mähly[2] 534 ἀλλά] μάλα (~ 543) Hermann[30] 1114 536 ἀδύ Hermann[32] 538 λαμπραῖς L 541 ⟨θεῖον δέμας⟩ J. H. H. Schmidt: ⟨δαρὸν χρόνον⟩ (cf. 93 sq.) Zakas: alii alia

Ζῆνα γὰρ οὐ τρομέων
ἰδίαι γνώμαι σέβηι
θνατοὺς ἄγαν Προμηθεῦ.

φέρ' ὅπως χάρις ἁ χάρις ὦ φίλος εἰ- str. 2
πέ· ποῦ τις ἀλκά;
τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης
ὀλιγοδρανίαν
ἄκικυν ἰσόνειρον, ἇι τὸ φωτῶν
ἀλαὸν γένος ἐμπεποδισμένον; οὔποτε ⟨– –⟩
τὰν Διὸς ἁρμονίαν
θνατῶν παρεξίασι βουλαί.

ἔμαθον τάδε σὰς προσιδοῦσ' ὀλοὰς ant. 2
τύχας Προμηθεῦ·
τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα
τόδ' ἐκεῖνό θ' ὅτ' ἀμ-
φὶ λουτρὰ καὶ λέχος σὸν ὑμεναίουν
ἰότατι γάμων, ὅτε τὰν ὁμοπάτριον ἕδνοις
ἄγαγες Ἡσιόναν
πιθὼν δάμαρτα κοινόλεκτρον.

555 (διαμφ. μέλος) Hsch. δ 1175 557 cf. Phot. s. ὑμεναιοῦν

543 ἰδίαι] cf. 403. West Gk. Metre 74.135: ῥαιδίαι Rogers 39 545 φέρε, πῶς Burges[10] χάρις ἄχαρις ΣΩ (ἄχ. χ. T): expl. Headlam[8] 107 549 ἀντόνειρον Reisig[2] ad O.C. 186 (cf. ad Cho. 319) ἇς τὸ M[a]?N: αἷς τὸ B[2]WV+: ἇι'στι dubitanter Stinton[7] (contra Σ) 550 ⟨τυφλαί⟩ Weil[15], alii alia: possis ⟨πάμπαν⟩ 552 βροτῶν I: θνητοῖς O[a], possis θνατοὶ 553 τόδε L 556 ἐκεῖνό τε ὅτ' ΦOW(κεῖ-)*εκλ*: (ἐκεῖν') ὅτε τότ' M: ὁ,πότε τ' D: ὅτ' cett. Θ 557 λοετρὰ BYW*ελ* 558 ἕδνοις del. Lachmann[1] 54 n., cui favere Σ 560a cave ne iudices 559 ἀσιόναν D[uv] 560 πείθων M[a2]: ποθῶν *β*

ΙΩ ⟨ἰώ·⟩
τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν
τόνδε χαλινοῖς ἐν πετρίνοισιν χειμαζόμενον;
τίνος ἀμπλακίας ποινὰς ὀλέκηι;
σήμηνον ὅποι γῆς ἡ μογερὰ πεπλάνημαι.

ἆ ἆ, ἒ ἔ·
χρίει τις αὖ με τὰν τάλαιναν οἶστρος –
{εἴδωλον Ἄργου γηγενοῦς} ἄλευ', ἆ δᾶ – {φοβοῦμαι}
τὸν μυριωπὸν εἰσορῶσα βούταν·
ὃ δὲ πορεύεται δόλιον ὄμμ' ἔχων,
ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει,
ἀλλά με τὰν τάλαιναν
ἐξ ἐνέρων περῶν κυνηγετεῖ πλανᾶι
τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμον,

567 (ἄλευ' ἆ δᾶ) Et. G. Sym. = M. 60.8 (268.1, 10, 271.7 L.-L.)
568 Tz. Exeg. Il. p. 153.20 Herm.

---

561 ⟨ἰώ·⟩ West[7] 562 χαλινοῖς TF: -οῖσιν *Ω* πετρίνοισι(ν) MIHO: π. ὀρείοις B+: π. τοῖς ὀρείοις cett. 564 ὅποι MΦ*a*OK$^{t}$: ὅπη cett. 565 γᾶς *β*D+ ἁ *aμ* 566 (post ἆ ἆ) ἓ ἓ vel ἒ ἒ MIO$^{2}$D: ἔα ἔα (114) plerique: om. O$^{t}$*λ* τὰν Y+, τὴν OQ$^{2}$: om. cett. οἴστροις M$^{a2}$I$^{a2}$ 567 εἴδωλον Ἄργου del. M. Schmidt[0], γηγενοῦς (quod ille emendabat) del. West[7] ἄλευ' ἆ δᾶ M$^{c?}$B + YW*ε*L$^{γρ}$, ἀλευάδα Σ$^{γρ}$D$^{ss}$L$^{t}$, ἄλευα δᾶ Etym.: ἄλευ' ὦ δᾶ cett.: ἀλύω, φεῦ δᾶ Hartung φοβοῦμαι om. Ya (casu puto): del. Dind.[1] vii 568 εἰσιδοῦσα Y + *κλ*: εἰσορῶ Tz. 569 ὅδε C. Winckelmann, cf. Cho. 1057 δόλιον non intelligo: δολερὸν *ξ*$^{γρ}$: θολερὸν P$^{γρ}$: δόχμιον Halbertsma 17 cl. Eur. Or. 1261 571 ἐμὲ Brunck 572 κἀξ Weil[9] κυναγεῖ Hermann[32]

ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ str.
ἀχέτας ὑπνολέταν νόμον.
ἰὼ ἰὼ ποποῖ,
ποῖ μ' ἄγουσ' ⟨αἵδε⟩ τηλέπλαγκτοι πλάναι;
τί ποτέ μ' ὦ Κρόνιε παῖ, τί ποτε ταῖσδ'
ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσιν, ἒ ἕ,
οἰστρηλάτωι δὲ δείματι δειλαίαν
παράκοπον ὧδε τείρεις;
πυρί ⟨με⟩ φλέξον, ἢ χθονὶ κάλυψον, ἢ
ποντίοις δάκεσι δὸς βοράν,
μηδέ μοι φθονήσῃς
εὐγμάτων ἄναξ·
ἅδην με πολύπλανοι πλάναι
γεγυμνάκασιν, οὐδ' ἔχω μαθεῖν ὅπηι
πημονὰς ἀλύξω.
κλύεις φθέγγμα τᾶς βούκερω παρθένου;

574–5 (κηρ. –) Plut. De cohib. ira 456 a

574 κηρόπακτος Meineke[4] 52 (contra Plut.) 575 ὑπνολέταν Hartung: -δέταν Q, Plut. codd. plerique: -δόταν Σ cett. 576 πόποι $Q^{γρ}$: ποῖ ποῖ fere *Ω* (ποιποῖ B), deinde πόποι πόποι fere M*β*D, ποῖ ποι ποι I, πῶ πῶ πῶ cett. 577 ποῖ *κ*: πῆ cett. ἄγουσ' αἵδε Mazon: ἄγουσι *Ω* (-σα $Y^a$? -σ'αἵ BaΔ): possis ἀγινοῦσι τηλέπλαγκτοι MIDεKΘ: -πλακτοι cett. πλάνοι MI*β*VΘ 580 δείσματι O: δήγματι Burges[2] 33: ἀλήματι Blaydes[7] 67 582 ⟨με⟩ Elmsley[1] 235 583 ποντίοις $M^a$V: -οισι cett. 585 ἅδην ML: ἅδδην O, ἄδδην cett. πολύπλα(γ)κτοι (cf. 577) O + Q(-αι)KL πλάνοι $VFb^{ss}$ (non Θ) 568 ὅπως Y: ὅπου $H^2$ (om. H): ὅποι $L^a$?Xc: ὅπαι Schütz[6] 588 choro trib. *Ω*: corr. Elmsley[1] 235 φθέγγμα] v. praef.: φθέγμα MO + *κλ*: πρόσφθεγμα YV+: φθέγματα *aβ*DN βούκερω $MH^aW^aNc^×$ RbGa al.: βουκέρω plerique

ΠΡ. πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης
τῆς Ἰναχείας; ἣ Διὸς θάλπει κέαρ
ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥραι στυγητὸς πρὸς βίαν γυμνάζεται.

ΙΩ πόθεν ἐμοῦ σὺ πατ'ρὸς ὄνομ' ἀπύεις; ant.
εἰπέ μοι τᾶι μογερᾶι, τίς ὤν,
τίς ἄρα μ' ὦ τάλας
τὰν ταλαίπωρον ὧδ' ἔτυμα προσθροεῖς
θεόσυτόν τε νόσον ὠνόμασας, ἃ
μαραίνει με χρίουσα κέντροισι φοιτᾱλέοισιν, ἐἕ;
σκιρτημάτων δὲ νήστισιν ἀικείαις
λαβρόσυτος ἦλθον ⟨Ἥρας⟩
ἐπικότοισι μήδεσι δαμεῖσα. δυσ-
δαιμόνων δέ τινες, οἵ, ἐἕ,
οἷ' ἐγὼ μογοῦσιν.
ἀλλά μοι τορῶς
τέκμηρον ὅτι μ' ἐπαμμένει
παθεῖν· τί μῆχ⟨α⟩ρ, ἢ τί φάρμακον νόσου;
δεῖξον, εἴπερ οἶσθα·
θρόει, φράζε τᾶι δυσπλάνωι παρθένωι.

589–90 St. Byz. 332.3

---

589 κλύει Mastronarde 115 sq. (contra St. Byz.) τῆς ⟨γ'⟩ West[7] 596 ἐτήτυμα Q[2γρ]K[s]λ, -μον Y 597 θεόσυτον K[a]T: θεόσσυτον Ω 598 φοιτᾱλ- mirum, sed cf. Eur. Or. 327: ⟨φεῦ⟩ φοιταλέοισιν Headlam[0] 599 αἰκείαις Xc, αἰκίαις Ω 600 λαβρόσσυτος Ω: corr. T ⟨Ἥρας⟩ Monk[1] 223, Hermann[13] 164 (hoc intelligit Σ potius quam legit): ⟨αἰνῶς⟩ Wieseler[5?] 602 δέ τινες Σ[γρ]IBYδεKλ: δὲ τίνες cett. cf. Ar. Plut. 826 (potius quam Il. 6.127) οἵ] οἳ M, οἲ I[×] V 606 μῆχαρ Elmsley[1] 236, μῆχαρ ἢ Reisig[3] xxiv/383: μὴ χρὴ MB[c]O[2]Y[×] WD[a]?ε: μοι χρὴ I[c]κL: μὲ χρὴ I[γρ]βOY[×] D[c] 608 φράζε τᾶ (ι) βO[2]DN + κλΘ?: φράζετε M, φράζε τὲ cett.

ΠΡ. λέξω τορῶς σοι πᾶν ὅπερ χρήιζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῶι λόγωι,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
πυρὸς βροτοῖς δοτῆρ' ὁρᾶις Προμηθέα.

ΙΩ ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;
ΠΡ. ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.
ΙΩ οὔκουν πόροις ἂν τήνδε δωρειὰν ἐμοί;
ΠΡ. λέγ' ἥντιν' αἰτῆι· πᾶν γὰρ ἂν πύθοιό μου.
ΙΩ σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασεν.
ΠΡ. βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.
ΙΩ ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;
ΠΡ. τοσοῦτον ἀρκῶ σοι σαφηνίσας μόνον.
ΙΩ καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης
δεῖξον τίς ἔσται τῆι ταλαιπώρωι χρόνος.
ΠΡ. τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.
ΙΩ μήτοί με κρύψηις τοῦθ' ὅπερ μέλλω παθεῖν.
ΠΡ. ἀλλ' οὐ μεγαίρω τοῦδε τοῦ δωρήματος.
ΙΩ τί δῆτα μέλλεις μὴ‿οὐ γεγωνίσκειν τὸ πᾶν;

609–11 Et. Gud. Sym. = M. 762.30 613–4 + 620 imit. Christ. Pat. 700–2; 613 cf. Ar. Eq. 836 615 sch. Theoc. 4.50/51 d, Tz. in Lyc. 106 625 sch. rec. Eur. Hec. 565

---

609 ὅπερ $B^{ss}$ $Y^{ss}$ $V^{ss*}$ Lb Etym. (cf. 641): ὅσον Y (cf. 787): ὃ W N + : ὅτι cett. 614 δίκην et Chr. Pat.: χάριν $O^{a}$? *κ* et gl. in aliis 616 δωρεὰν *Ω*: corr. von Bamberg 617 αἰτῆς $H^{a}$B, -εῖς Y πᾶν γὰρ ἂν $P^{γρ}$: πᾶν γὰρ οὖν M: πᾶν γὰρ H O D $Q^{a}$: πάντα γὰρ I B Y W *ε* $Q^{2}$K: πᾶν γὰρ ἐκ- *λ* 619 βούλημα $O^{1}$ μέντοι τὸ *β*D 621 σαφηνίσας $Linwood^{0}$: -ίσαι *Ω* 624 σε H $O^{ss}$ Y D *κ* L τόδε L 626 τοῦδέ σοι $Aur.^{1}$ 627 οὐ om. $M^{as}$ D $Q^{c}$ K L (non Φ)

ΠΡ. φθόνος μὲν οὐδείς, σὰς δ' ὀκνῶ θρᾶξαι φρένας.
ΙΩ μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ.
ΠΡ. ἐπεὶ προθυμῆι, χρὴ λέγειν· ἄκουε δή.
ΧΟ. μήπω γε, μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε·
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.
ΠΡ. σὸν ἔργον Ἰοῖ ταῖσδ' ὑπουργῆσαι χάριν,
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός·
ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ', ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.
ΙΩ οὐκ οἶδ' ὅπως ὕμιν ἀπιστῆσαί με χρή,
σαφεῖ δὲ μύθωι πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγουσ' ὀδύρομαι
θεόσσυτον χειμῶνα καὶ διαφθοράν
μορφῆς, ὅθεν μοι σχετλίαι προσέπτατο.
αἰεὶ γὰρ ὄψεις ἔννυχοι πωλεύμεναι
εἰς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις· "ὦ μέγ' εὔδαιμον κόρη,
τί παρθενεύηι δαρόν, ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει

645 cf. Hsch. ο 2075

628 θρᾶξαι $H^{a}$ $N^{2}$: θράξαι cett. 629 μᾶλλον L $R^{a}$ ἢ ὡς recc. (Zi Ze): ὧν Hermann[32]: ἢ κἀμοὶ 'amicus doctus' ap. Blomf.[1]: μασσόνως ἢ'μοὶ Elmsley[1] 236 637 τἀποκλαῦσαι $I^{\gamma\rho}$ $O^{1}$ $N^{2}$ Q *λ*: κἀπο- M I *β* $O^{a}$ K: ἀπο- cett. 638 ὅπου $B^{gl}$ $P^{2}$: ὅποι M I *β* O *ε*: ὅπη Y *δ κ λ* μέλλοι M I $O^{a}$?: -ει Φ cett. 640 ὑμῖν *Ω* 641 ὅσον (787) Lc Ξa 642 αἰσχύνομαι $M^{\gamma\rho}$ $I^{\gamma\rho}$ $O^{2}$ $Q^{2\gamma\rho}$. cf. 197 645 αἰεὶ M *μ*: ἀεὶ cett. πωλεύμεναι M $I^{a}$? *λ*: πολ- cett. et $M^{2}$ 647 εὐδαίμων $M^{as}$ *a* H + $O^{a1}$

πρὸς σοῦ τέθαλπται καὶ ξυναίρεσθαι Κύπριν
θέλει· σὺ δ' ὦ παῖ μὴ ἀπολακτίσηις λέχος
τὸ Ζηνός, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρός,
ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσηι πόθου."
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
ξυνειχόμην δύστηνος, ἔστε δὴ πατρί
ἔτλην γεγωνεῖν νυκτίφαντ' ὀνείρατα·
ὁ δ' εἴς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνούς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρή
δρῶντ' ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.
ἧκον δ' ἀπαγγέλλοντες αἰολοστόμους
χρησμούς, ἀσήμους δυσκρίτως τ' εἰρημένους·
τέλος δ' ἐναργὴς βάξις ἦλθεν Ἰνάχωι
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμέ
ἄφετον ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις·
κεἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνόν, ὃς πᾶν ἐξαϊστώσοι γένος.
τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν
ἐξήλασέν με κἀπέκλῃσε δωμάτων,

650 ξυν- YD$^{c?}$λ: συν- cett. ξυνάρασθαι P$^{γρ}$, cf. Σ συνουσιάσαι, Φ συμβοηθῆσαι αὐτῶι 652 διὸς YWN+ 656 συν- κ 657 νυκτίφαντ' MIR$^{ss}$ (cf. Ag. 82.420): νυκτίφοιτ' cett. 658 δωδώνην O$^{2}$Kλ συχνοὺς ξ$^{γρ}$ (et Thom. Ecl. s. θεοπρόπους) 659 μάθοι MaNλ: μάθη cett. 660 φίλον BDN+: φίλως Q$^{2γρ}$: φίλωι M 661 ἀπαγγέλ(λ)οντες Yξ$^{γρ}$: ἀναγγ- MΦ fere cett. (ἀγγ- O) 662 ἀσήμως a$^{r}$Θ τ' om. βD (non Θ) ᾐνιγμένους Nc (ex interpr. Φ puto; contra Θ) 663 ἦλθε βάξις OFbLc 667 κεὶ] εἰ YWN$^{a}$, cf. Φ πυρωτὸν MI$^{γρ}$O$^{a}$: πυρῶπ' ἂν Sikes–Willson ἂν Διὸς Elmsley[1] 236 cl. Soph. O.R. 307 668 ἐξαϊστώσοι Blomf.[11]: -ώσει Ω 670 κἀπέκλεισε(ν) Ω: corr. Elmsley[1] 227

ἄκουσαν ἄκων, ἀλλ' ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεραστὶς δ', ὡς ὁρᾶτ', ὀξυστόμωι
μύωπι χρῑσθεῖσ' ἐμμανεῖ σκιρτήματι
ᾗσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος
Λέρνης τε κρήνην· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
ὄσσοις δεδορκώς, τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ' αὐτὸν †αἰφνίδιος† μόρος
τοῦ ζῆν ἀπεστέρησεν, οἰστροπλὴξ δ' ἐγὼ
μάστιγι θείαι γῆν πρὸ γῆς ἐλαύνομαι.
  κλύεις τὰ πραχθέντ'· εἰ δ' ἔχεις εἰπεῖν ὅτι
λοιπὸν πόνων, σήμαινε. μηδέ μ' οἰκτίσας
ξύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

ΧΟ. ἔα ἔα, ἄπεχε, φεῦ·
οὔποθ' ⟨ὧδ⟩ οὔποτ' ηὔχουν ξένους
μολεῖσθαι λόγους εἰς ἀκοὰν ἐμάν,

671 ἄκουσαν ἄκων *Ω* 674 κεραστὶς Hdn. I 104.15: κεράστις fere *Ω* (-ης H$^{c}$B*γ*, -ὴς H$^{a}$) 676 κερχνείας M*a*Q$^{2}$: κερχρείας O: κεγχρ- H$^{c}$Y + W$^{c}$DV + *λ* (-ίας): κεχρ- *β*W$^{a}$N*κ* 677 τε κρήνην Canter: ἄκρην τε fere *Ω* (-αν τε Y + W*κ*, -ον τε O, τε om. *β*: ἐσ ἄκρην H$^{1}$): τ' ἐς ἀκτήν Reisig$^{3}$ xxv/383 (cf. Pind. Ol. 7,33, sed huic loco minus aptum): ἀκτήν τε Λέρνης Blomf.$^{2}$ 170 680 δ' αἰφν. αὐτὸν Porson$^{5}$: ἀφνίδιος Burges$^{2}$ 33, Elmsley$^{1}$ 237: ἄπτερος Headlam$^{2}$ 296 cl. Hsch. ἄπτερος· αἰφνίδιος 682 πρὸ MY?*λ*: πρὸς fere cett. (ἐκ O) et M$^{2}$ γῆς πρὸς γῆν I$^{c?}$*β*O$^{γρ}$*δεκ* 683 ὅτι V$^{a}$: ἔτι cett. 684 πόνων ΦI$^{ss}$ *β*O$^{s}$Y$^{1}$W$^{ss}$DV*κλ*: πόνον M*a*B$^{a}$O$^{ss}$W$^{t}$N$^{ss}$: πόνου O$^{t}$Y$^{\times}$N+ 685 σύν- *κ*: σὺ Herwerden$^{4}$ 189 688 οὔποθ' ⟨ὧδ'⟩ Wecklein$^{4}$: οὔποτ' *Ω* (om. *λ*) ηὐχόμην MW$^{c}$D*ε* (contra Σ) 689 ἐς MIYWN*λ*

οὐδ' ὧδε δυσθέατα καὶ δύσοιστα
†πήματα λύματα δείματ' ἀμφήκει
κέντρωι ψύχειν ψυχὰν ἐμάν†.
ἰὼ {ἰὼ} μοῖρα μοῖρα·
πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.

ΠΡ. πρώι γε στενάζεις καὶ φόβου πλέα τις εἶ·
ἐπίσχες ἔστ' ἂν καὶ τὰ λοιπὰ προσμάθηις.
ΧΟ. λέγ', ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκύ
τὸ λοιπὸν ἄλγος προυξεπίστασθαι τορῶς.
ΠΡ. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα
κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε
τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης·
τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη
τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
σύ τ' Ἰνάχειον σπέρμα τοὺς ἐμοὺς λόγους
θυμῶι βάλ', ὡς ἂν τέρματ' ἐκμάθηις ὁδοῦ.
πρῶτον μὲν ἐνθένδ' ἡλίου πρὸς ἀντολάς
στρέψασα σαυτὴν στεῖχ' ἀνηρότους γύας·
Σκύθας δ' ἀφίξηι νομάδας, οἳ πλεκτὰς στέγας
πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,

705 St. Byz. 332.5

---

690 καὶ om. MI*β* 691–3 metrum latet λύματα om. Q[a]: δείματ' om. D, del. Hermann[32]: fort. potius πήματα glossema est ψύχειν] τύψειν Wil.[17] optime cl. Eum. 156 sq. ἐμὰν fort. ex 689 male repetitum: μοι ψυχάν Page[3] 694 ἰὼ alt. del. Weil[9] μοῖρα alt. om. OXR[c] 695 ἐσιδοῦσα MIY + DV +, ἐσσι- W 696 πρῶι MI[γρ]: πρό cett. et M[2] καὶ τάφους Σ? (θαυμάζεις) 698 τοι] τι OY?N*κ*: γὰρ *βλ* 700 χρείαν O[a] Q[c] K*λ*: χρείαν τ' cett. ἠν- *Ω* 701 γὰρ] δὲ Rc 705 τ' et St. Byz.: δ' DVKL 706 μάθ' MXcC 707 ἀντολὰς MD*κ*: ἀνατ- cett. 708 τρέψασα H (cf. Hippon. 42.5 W. = 7.5 Deg.) 709 πλαγκτὰς Dacier cl. Hor. C. 3.24.10

ἐκηβόλοις τόξοισιν ἐξηρτυμένοι·
οἷς μὴ πελάζειν, ἀλλ' ἁλιστόνοις πόδας
χρίμπτουσα ῥαχίασιν ἐκπερᾶν χθόνα.
λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή,
ἀνήμεροι γὰρ οὐδὲ πρόσπλατοι ξένοις.
ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον·
ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν,
πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
κροτάφων ἀπ' αὐτῶν· ἀστρογείτονας δὲ χρὴ
κορυφὰς ὑπερβαλοῦσαν εἰς μεσημβρινὴν
βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
ἥξεις στυγάνορ', αἳ Θεμίσκυράν ποτε
κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
τραχεῖα πόντου Σαλμυδησσία γνάθος,
ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν.
αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἄσμεναι·
ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις

721–2 (ἀστρ. κορ.) Eu. 1390.21 726–7 (Σαλμ. –) sch. Soph. Ant. 969, Eu. 560.19; (Σ. γν.) id. 309.3; 727 Tz. in Lyc. 1286

---

711 ἐξηρτυμένοι Y $Q^{a}$? (-ειρ-) $K^{a}$? L: -τημένοι Σ cett. 712 γύποδας *Ω* (fuerat γύας [708] ss. πόδας): γε πόδας quidam ap. Φ: corr. *κ* 713 ῥαχίαισιν *Ω* ἐκπέρα $B^{2}Q^{ss}$ 716 πρόσπλατοι I: -πλαστοι cett. 717–28 post 791 trai. Reisig[3] xxv/383 sq. 717 ἵξῃ (709) O Ὑβρίστην parox. Bothe[2]: Araxem intelligit Σ, unde· Ἄραξιν Rob., Ἀράξην Heimsoeth[1] 27 οὐκ εὐώνυμον $O^{a2}\Delta^{\gamma\varrho}$ post h.v. 〈σμερδνοῖς Ἀράξην κύμασιν βρυχώμενον〉 Hermann[32] 722 ὑπερβαλοῦσαν Groeneboom[1] 98 (nol. Wecklein[4]): -βάλλουσαν *Ω* 724 ἵξῃ (cf. ad 717) $a^{t}Q^{a2}$ 727 ναύτῃισι M, -ῃσι fere cett. (-οισι Y): -αισι Eust. Tz. 728 ἄσμεναι Herwerden[5] 123: ἀσμένως *Ω* (ἁσ- M) sollemni corruptela 729 στενοπόρου O $W^{c}$ D (-πώ-) (contra Φ)

Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον
ἤπειρον ἥξεις 'Ασιάδ'. ἆρ' ὕμιν δοκεῖ
ὁ τῶν θεῶν τύραννος εἰς τὰ πάνθ' ὁμῶς
βίαιος εἶναι; τῆιδε γὰρ θνητῆι θεός
χρήιζων μιγῆναι τάσδ' ἐπέρρεψεν πλάνας.
πικροῦ δ' ἔκυρσας ὦ κόρη τῶν σῶν γάμων
μνηστῆρος· οὓς γὰρ νῦν ἀκήκοας λόγους
εἶναι δόκει σοι μηδέπω'ν προοιμίοις.

ΙΩ ἰώ μοί μοι, ἒἕ.

ΠΡ. σὺ δ' αὖ κέκραγας κἀναμυχθίζηι· τί που
δράσεις ὅταν τὰ λοιπὰ πυνθάνηι κακά;

ΧΟ. ἦ γάρ τι λοιπὸν τῆιδε πημάτων ἐρεῖς;

ΠΡ. δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.

ΙΩ τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,
ὅπως πέδοι σκήψασα τῶν πάντων πόνων
ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.

732-4 (– κεκλ.) St. Byz. 177.10  743 (μυχθ.) Eu. 440.25, 1965.49

---

735 ἀσίαδ' M[a] Rc[a2]: 'Ασίδ' Elmsley[1] 227  ὑμῖν *Ω*  738 ἐπέρρεψε marg. cod. nesciocuius ap. Morell: ἐπέρριψε fere *Ω* (ἐπέτρεψε Lb, ἐπέζευξε Y [-αι] *δ*[γρ]), -εν Porson[1]  741 μηδ'ἐπῶν *Ω*: dist. Turn.: 'ν del. Ahrens[6] 79 cl. Eur. Hec. 1195  προοίμια O[t]: -ιον Xc  742 ἰὼ bis B O  743 τί που insolitum: τί μου West[4] (cf. 476): τί οὖν Blaydes[2]  744 κακῶν B[ss]  749 πέδοι Dind.[4] (cf. 272): πέδω *Ω* (ω i. r. C[1])  751 ἡμέρας *Ω*

ΠΡ. ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
ὅτωι θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή·
νῦν δ' οὐδέν ἐστι τέρμά μοι προκείμενον
μόχθων πρὶν ἂν Ζεὺς ἐκπέσηι τυραννίδος.
ΙΩ ἦ γάρ ποτ' ἐστὶν ἐκπεσεῖν ἀρχῆς Δία;
ΠΡ. ἥδοι' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν.
ΙΩ πῶς δ' οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;
ΠΡ. ὡς τοίνυν ὄντων τῶνδε γαθεῖν σοι πάρα.
ΙΩ πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;
ΠΡ. πρὸς αὐτὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.
ΙΩ ποίωι τρόπωι; σήμηνον, εἰ μή τις βλάβη.
ΠΡ. γαμεῖ γάμον τοιοῦτον, ὧι ποτ' ἀσχαλεῖ.
ΙΩ θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.
ΠΡ. τί δ' ὅντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τόδε.
ΙΩ ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;
ΠΡ. ἢ τέξεταί γε παῖδα φέρτερον πατρός.
ΙΩ οὐδ' ἔστιν αὐτῶι τῆσδ' ἀποστροφὴ τύχης;
ΠΡ. οὐ δῆτα, πλὴν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθείς.

765 (– βρ.) Eu. 784.4, cf. Hsch. ϑ 296 768 Tz. in Lyc. 178

---

752 τούς γ' Headlam[8] 107 ἐμοὺς φέροις πόνους O 754 ἦν ἂν MIV: ἦν *β*DL: ἦν μοι *γ*: ἂν ἦν H[c]W[c?]QK[s]: ἂν ἦ W[a]?NK[a] 755 τέρμά sic LcLa 758 ἥδοιο H, ἥδοιο B[c] (-οις B[a]): ἥδοιμ' fere cett. notis personarum 758–9 omissis 759 δ' om. *β*L κακὰ *a*. cf. 751 760 γαθεῖν σοι Zakas (σοι γηθεῖν Schütz[2], γαθῆσαι Wecklein[4]): μαθεῖν σοι *Ω* (σοι μαθεῖν αT: μανθάνειν Lb: εἶν σοι i. r. M, fuerat u. v. ε(.)΄. . η) 762 πρὸς αὑτὸς MINc*ξ*: αὐτὸς πρὸς cett. κουφόνων L 764 ἀσχαλεῖ L. Dindorf I(2) 2320: ἀσχαλᾶ(ι) *Ω* 765 εἰ θέμις Harberton[1] 766 θεμιτὸν Brunck[1] cl. Soph. O.R. 993: possis ἔστιν τάδε Y + W 769–72 om. D (rest. m. rec.) 770 πλὴν] πρὶν I[c] + *γ*W[s]N*κ* λυθῶ *γ*VN[2]*κλ*

ΙΩ τίς οὖν ὁ λύσων ἐστὶν ἄκοντος Διός;
ΠΡ. τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεών.
ΙΩ πῶς εἶπας; ἦ'μὸς παῖς σ' ἀπαλλάξει κακῶν;
ΠΡ. τρίτος γε γένναν πρὸς δέκ' ἄλλησιν γοναῖς.
ΙΩ ἥδ' οὐκέτ' εὐξύμβλητος ἡ χρησμῳδία.
ΠΡ. καὶ μηδὲ σαυτῆς γ' ἐκμαθεῖν ζήτει πόνους.
ΙΩ μή μοι προτείνων κέρδος εἶτ' ἀποστέρει.
ΠΡ. δυοῖν λόγοιν σε θατέρωι δωρήσομαι.
ΙΩ ποίοιν; πρόδειξον αἵρεσίν τ' ἐμοὶ δίδου.
ΠΡ. δίδωμ'· ἑλοῦ γάρ· ἢ πόνων τὰ λοιπά σοι
φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.
ΧΟ. τούτων σὺ τὴν μὲν τῆιδε, τὴν δ' ἐμοὶ χάριν
θέσθαι θέλησον, μηδ' ἀτιμάσηις λόγου·
καὶ τῆιδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.
ΠΡ. ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρήιζετε.
σοὶ πρῶτον Ἰοῖ πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσηις ῥεῖθρον ἠπείρων ὅρον,

771 λύσων σ' V(σε)L (gl. in aliis) ἄκοντος *Ω*: ἄρχοντος Pauw 772 αὐτῶν M I$^a$ Rc$^a$: αὐτῆς Brunck$^1$ ἐγγόνων M I O + V + Q$^\times$ 773 σε παῖς *γ*W: σ' om. *β*V + possis ἀπαλλάσσει 774 ἄλλησι(ν) *β*N$^2$: -αισι(ν) fere cett. 776 γ' Hermann$^{32}$: τ' M*β*: om. cett. 780 εἰ Blaydes$^2$ 782 τούτοιν Wecklein$^3$ 46 783 λόγου Elmsley$^1$ 239: λόγους *Ω* (οἴκους *β*$^t$): λιτάς Stadtmüller cl. Supp. 378 787 οὐ om. M$^{as}$ O D$^a$ V$^*$ *κ* L ὅπερ Lb 790 ἠπείροιν (cf. Pers. 736. Soph. fr. 881) Herwerden$^1$ 93, cf. tamen Soph. Tr. 101

πρὸς ἀντολὰς φλογῶπας ἡλίου στίβει
πόντον παρὰ ζάφλοισβον, ἔστ' ἂν ἐξίκῃ
πρὸς Γοργόνεια πεδία Κισθήνης, ἵνα
αἱ Φορκίδες ναίουσι, δηναιαὶ κόραι
τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
ἀκτῖσιν οὔθ' ἡ νύκτερος μήνη ποτέ·
πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,
ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς.
τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω,
ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν·
ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατόν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε. τήλουρον δὲ γῆν
ἥξεις, κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.

801 cf. Hsch. φ 920   804 (μ. στρ.) Eu. 1388.64 et ad D.P. 31   807 cf. Hsch. τ 779

791 ἀνατολὰς βYεQ[c?]   ἡλίου στίβει Hartung (στιβεῖς Pauw; cf. 707 sq.): ἡλιοστιβεῖς fere Ω, sed -στεί- M[a], ἥλιος φλογ. στιβεῖς Y   lac. post h. v. stat. Heath   792 πόντον Mδε: πόντου cett.   παρὰ ζάφλοισβον West[7]: περῶσα φλοῖσβον Ω (ex 790 περάσῃς). traiecto fretu terram lustrabit non mare   793 πρὸς] possis τὰ, cf. 810 sq.   κισθήνης ΣMaQ[2], varie corruptum in ceteris   795 κυκνόκορσοι Wieseler[3] 721   797 οὔθ' ἡ] οὔτε Hermann[19] 12/180   801 φρούριον ΣΩ, fort. iam Hsch.: φροίμιον (cf. 741) Wakefield[1] 95   803 ἀκραγγεῖς MδV+   806 πόρον MY[c]Q[ss]K[ss]   807 τηλουρὸν fere Ω (-ουργὸν M[a2]) γῆς (cf. 1) Elmsley[1] 239

τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκηι
καταβασμόν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος.
οὗτός σ' ὁδώσει τὴν τρίγωνον εἰς χθόνα
Νειλῶτιν· οὗ δὴ τὴν μακρὰν ἀποικίαν
Ἰοῖ πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
  τῶνδ' εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπανδίπλαζε καὶ σαφῶς ἐκμάνθανε·
σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.
ΧΟ. εἰ μέν τι τῆιδε λοιπὸν ἢ παρειμένον
ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
λέγ'· εἰ δὲ πάντ' εἴρηκας, ἡμῖν αὖ χάριν
δὸς ἥνπερ αἰτούμεσθα· μέμνησαι δέ που.
ΠΡ. τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν·
ὅπως δ' ἂν εἰδῆι μὴ μάτην κλυοῦσά μου,
ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν φράσω,
τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν.
  ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων.
ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ γάπεδα
τὴν αἰπύνωτόν τ' ἀμφὶ Δωδώνην, ἵνα

812 cf. Hsch. (Cyr.) σ 420  816–8 (εἴ τι –) Ath. 347c; 816 (ψ. –) Eu. 1535.25; (ψ.) Antiatt. AB 116.18

---

810 ἐξίης *δ* V +  811 βιβλίνων M O Q K$^{a}$  ὀρέων P$^{γρ}$  812 σεμνὸν *κ*  813 οὕτωσ M$^{a}$  δ' Y Ga Lc  816 τῶν εἰ M$^{a}$ V$^{a*}$  817 ἐπανδ- Dind.[4]: ἐπαναδ- *Ω* Ath.  ἐπανδίπλοιζε Paley[1] ad Eum. 1014  818 θέλεις *β* (-ης H) W$^{ss}$ D V + Q$^{a}$  820 πλάνης] τύχης (ex 633) *μ ξ*$^{γρ}$  821 'vel ἡμὶν' Page[3] (ἧμιν nol. Porson[2] xxxiv)  822 ἥνπερ Hermann[27] xiv (ἣν πρὶν id.[32]): ἥντιν' *Ω*  ἠιτούμεσθα Dind.[4]  824 κλύουσά *Ω*  826 fort. αὖτε  828 τέρμα (= 823) suspectum: πρᾶγμα Mähly[2?]  829 εἰς *a*  δάπεδα *Ω*: corr. Porson[3] ad Or. 324

μαντεῖα θᾶκός τ' ἐστι Θεσπρωτοῦ Διός
τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες,
ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
μέλλουσ' ἔσεσθαι – τῶνδε προσσαίνει σέ τι; –
ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
κέλευθον ἦιξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζηι δρόμοις·
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται,
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς.
σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενός,
ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
  τὰ λοιπὰ δ' ὑμῖν τῆιδέ τ' εἰς κοινὸν φράσω,
εἰς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
ἔστιν πόλις Κάνωβος, ἐσχάτη χθονός,
Νείλου πρὸς αὐτῶι στόματι καὶ προσχώματι·
ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα
ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον·
ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων
τέξεις κελαινὸν Ἔπαφον, ὃς καρπώσεται
ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα.

838 (παλ.) Hsch. π 208 (παλιμπλάκτοισιν cod. sed παλινπλ. poscit ordo) 839–41 Tz. in Lyc. 630; resp. sch. Eur. Pho. 208, St. Byz. 333.9, Et. M. 473.16 846 sch. Od. 4.563, 6.204, Eu. 1386.13, 1509.36, 1559.61 852 cf. Hsch. (Cyr.) α 7095

---

831 θῶκος *Ω*: corr. Brunck τ' om. $M^{a}$*β* 835 προσσαίνει $I^{1}$OV+: προσαίνει cett. 838 πολυπλά(γ)κτοισι *a*Θ? 840 κληθήσεται MODV+ (non Tz.) 845 ταὐτὸ $H^{a}O^{2}$: ταυτό γ' Lc **post 847 deficit N** post 849 ⟨παύσας τε μόχθων τῶνδε φιτύει γόνον⟩ $Hermann^{32}$ 850 προσθιγμάτων $Blaydes^{2}$

πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντάπαις
πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται
θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
ἀνεψιῶν· οἳ δ' ἐπτοημένοι φρένας,
κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
ἥξουσι θηρεύοντες οὐ θηρασίμους
γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
Πελασγία δὲ δέξεται ⟨. . . .
. . . . . . . . .⟩ θηλυκτόνωι
ἄρει δαμέντων νυκτιφρουρήτωι θράσει·
γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
δίθηκτον ἐν σφαγῆσι βάψασα ξίφος.
τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ
κτεῖναι ξύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος.
αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος.
μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς·
σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασύς,

853 (πε. γ. π.) Eu. 37.32

---

853 πεντηκοντόπαις MH + λ (evan. I) Eust. cf. Supp. 321   856 possis ἐπτοημένων (cf. Supp. 224.332)   858 θηρεύοντες H + $ζ^{γρ}$: θηρεύσοντες fere cett. (-σαντες D) et Θ   859 φθόνον et ΣΘ: φόνον $M^{c}D^{a}$? $λ^{×}$   860 lac. stat. Hermann[32] supplens ⟨τὸν ἐγγενῆ | στόλον γυναικῶν, νυμφίων⟩: possis etiam θηλύ⟨σπορον | ὅμαιμον ὄχλον, νυμφίων πολυ⟩κτόνωι vel sim.   861 δαμέντα Lc $Ξa^{ss}$: δαμέντας Pauw   863 σφαγαῖσι *Ω*   864 ἐπ' Y*δ*V+: ἐς cett.   866 ξύνευνον T: σύν- *Ω*   867 γνώμαιν $B^{γρ}D^{a}V^{*}$ + $Q^{1}K^{1}$, -οιν H+, -ων Va   δυεῖν M*a*   870 δὴ $O^{a1}$V   871 σπόρος Sikes–Willson   post h.v. lac. stat. Groeneboom[1] 99

τόξοισι κλεινός, ὅς πόνων ἐκ τῶνδ' ἐμέ
λύσει· τοιόνδε χρησμὸν ἡ παλαιγενής
μήτηρ ἐμοὶ διῆλθε, Τιτανὶς Θέμις·
ὅπως δὲ χὤπηι, ταῦτα δεῖ μακροῦ λόγου
εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.
ΙΩ ἐλελεῦ ἐλελεῦ·
ὑπό μ' αὖ σφάκελος καὶ φρενοπλῆγες μανίαι θάλπουσ',
οἴστρου δ' ἄρδις χρίει ζάπυρος·
κραδία δὲ φόβωι φρένα λακτίζει,
τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι λύσσης πνεύματι μάργωι
γλώσσης ἀκρατής, θολεροὶ δὲ λόγοι παίουσ' εἰκῆι
στυγνῆς πρὸς κύμασιν ἄτης.

ΧΟ. ἦ σοφός, ἦ σοφὸς ἦν str.
ὃς πρῶτος ἐν γνώμαι τόδ' ἐβάστασε καὶ
γλώσσαι διεμυθολόγησεν,
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῶι,

877 (ἐλελεῦ) Hsch. ε 1979 880 (ἄρδις) Hsch. α 7101 890 Eu. 717.4, 758.63

---

872 κλεινοῖς M $a^{t}$ 873 possis λύει 874 ἐμὴ *β* O $W^{t}$ $D^{t}$ V + *κ*. cf. ad 209 Θέμις] θεῶν rec. (Zh) 875 δεῖ] δὴ B $O^{2}$ $D^{a}$ V, cf. Σ λόγου] χρόνου $B^{γρ}$ *γ* $W^{t}$ $D^{t}$ V + . cf. ad 449. Pers. 713 876 δ' *β* 877 ἐλελεῦ ἐλελεῦ Pauw: ἐλελελελελεῦ fere *Ω* (ἰὼ ἰὼ λελελελευ λελελελελεῦ O, ἐλελε ελελεῦ *μ*, ἐλελεῦ ἐλελελελεῦ R): incertum quid Hsch. 878 φρενοπλῆγες Cobet$^{2}$ 128: -πληγεῖς *Ω* (-βλαβεῖς *δ* V* + ) 880 τ' *a* ζάπυρος Askew$^{2}$ (cf. Ag. 1256. Soph. El. 888): ἄπυρος O, μ'ἄπυρος Σ cett. 881 κραδία T K: καρδία *Ω* 885 πταίουσ' M $Q^{a}$ (et $Σ_{M}$ 885 a, contra 884 a) 886 στυγνοῖς Y *λ* (non Θ) 887 sq. ἦν et ἐν γνώμαι del. T ( ~ 894 sq.): ἦν et πρῶτος ἐν del. Monk$^{1}$ 226 890 κηδεύειν Eust. ἀριστεύειν Y $W^{s}$ D V +

καὶ μήτε τῶν πλούτωι διαθρυπτομένων
μήτε τῶν γένναι μεγαλυνομένων
ὄντα χερνήταν ἐραστεῦσαι γάμων.

μήποτε, μήποτ' ἔμ' ὦ ant.
Μοῖραι ⟨◡ – – –⟩ λεχέων Διὸς εὐ-
νάτειραν ἴδοισθε πέλουσαν,
μηδὲ πλαθείην γαμέται τινὶ τῶν ἐξ Οὐρανοῦ·
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ' Ἰοῦς ἀμαλαπτομέναν
δυσπλάνοις Ἥρας ἀλατείαις πόνων.

ἐμοὶ δ', ὁπόθι μὲν ὁμαλός, ὁ γάμος ἄφοβος, οὐ- epod.
⟨δὲ⟩ δέδια· μὴ δὲ κρεισσόνων {θεῶν ἔρως}
ἄφυκτον ὄμμα προσδράκοι {με}.

894 μήποτ' ὦ *δ* V + *λ*  895 ⟨πολυζήλων⟩ Flach 829: ⟨μακραίωνες⟩ (Soph. Ant. 987) Hermann[32]: ⟨τελεσφόροι⟩ Μοῖραι (cf. 511) Burges[2] 35: ⟨πότνιαι⟩ Μοῖραι (omisso ἦν 887) C. Winckelmann  Διὸς om. *β* D[a] V (quasi gl. ss. HB), ante λεχέων WD[c]  897 πλαθείην M(-είη M[a]) *a*[t] OWRb: πλασθ- cett. et M[2]  ἐν γαμέται *Ω* (-εταῖ M[1] ex -ετῶι): ἐν om. *λ*T  Οὐρανοῦ] vel οὐρανοῦ  899 γ'ἀμαλαπτομέναν Weil[9] (sine γ' Dind.[12]): γάμω δαπτομέναν fere Σ*Ω* (με γάμω V, δαπανομέναν vel -ην M[a] O[a]? Nc[t] [-νω-]C): μέγα δαπτομέναν Schütz[2]  900 δυσπλάνοις Q[2γρ] (-ης) NcFb[γρ] T: δυ(σ)σπλάγχνοις fere cett. et Θ (-νων *β*, -νης vel -νας *κ*)  ἀλατείαισι fere *Ω*: corr. TR[c]  πόνων] cf. Soph. Ai. 888: χόλωι Brunck (malim φθόνωι): ἀλατειῶν πόνοις Donner II 58: ἀλατείας πόνοις nol. Wecklein[15]  901 ὁπόθι (cf. Supp. 124) West[7]: ὅτι *Ω* (ὅτε R[a]): ὅτωι Weil[15]: ὅπου vel ὁπότε Headlam[18] 314  οὐδὲ Elmsley[1] 240: οὐ *Ω*  902 possis κρεισσόνων δὲ μή μ'  θεῶν om. Cb: θεῶν ἔρως del. Musgrave, ἔρως tantum Schütz[2]: habuit Σ  903 προσδράκοι Rb: -δάρκοι M I[a]?: -δράμοι Y[t] +: -δέρκοι fere cett.  με (vix μ' in hac sede) ante ἄφυκτον trai. Butler: del. West[7]

ἀπόλεμος ὅδε γ' ὁ πόλεμος, ἄπορα πόριμος· οὐδ'
  ἔχω τί ἂν γενοίμαν·
τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπαι φύγοιμ' ἄν.

ΠΡ. ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδη φρονῶν,
ἔσται ταπεινός, οἷον ἐξαρτύεται
γάμον γαμεῖν, ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ' ἄϊστον ἐκβαλεῖ· πατρὸς δ' ἀρά
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται
ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.
τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῶι πλὴν ἐμοῦ δεῖξαι σαφῶς·
ἐγὼ τάδ' οἶδα χὠι τρόπωι. πρὸς ταῦτά νυν
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστὸς τινάσσων τ' ἐν χεροῖν πύρπνουν βέλος·
οὐδὲν γὰρ αὐτῶι ταῦτ' ἐπαρκέσει τὸ μὴ‿οὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά.
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ' αὐτὸς αὐτῶι, δυσμαχώτατον τέρας,
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον
θαλασσίαν τε γῆς τινάκτειραν νόσον

904 οὐδ'] οὐκ *λ*  905 τί Meineke[3] 232 (cf. Sept. 297 c. app., Thuc. 2.52.3): τίς *Ω*  906 ὅπου H[ss]BY+: ὅποι Xc[ss]  907 αὐθάδη φρονῶν *κλ* (-άδη et B[c]W[t], φρονῶν et W[×] V[ss*]+): αὐθάδης φρενῶν fere cett. (de Y non liquet): (αὐθάδης) φρένας Pauw: φρέν' ὢν Blaydes[7] 70  908 οἶοσ M[a]  910 τ' om. MW[a] (cf. Eur. Tro. 1321?)  δ' *ακλ*: τ' MY + *δ*V + K[1]: om. *β*O  912 ἐκπίτνων M[a], -πιτνῶν M[c]IO[2]*δ*V + K[1]*λ*: -πίπτων *βγκ*  915 νυν T: νῦν *Ω*  916 τόποις (cf. Φ) *λ*  917 χερσὶ *β*: χειρὶ *κλ*  πύρπνουν M*a*O: πυρίπνουν *β*Y + W*κλ*: πυρπνόον (sic) DV*μ*  918 fin. οὐ ad init. v. 919 transferunt *β*Y[c]: om. *γ*W[a]*κλ*  923 δ' *β*  924 νόσων M[a]: νέμων Askew[2]

ἢ τρίκροον αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾶι.
πταίσας δὲ τῶιδε πρὸς κακῶι μαθήσεται
ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.
ΧΟ. σύ θην, ἃ χρήιζεις, ταῦτ' ἐπιγλωσσᾶι Διός.
ΠΡ. ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.
ΧΟ. καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα;
ΠΡ. καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.
ΧΟ. πῶς οὐχὶ ταρβεῖς τοιάδ' ἐκρίπτων ἔπη;
ΠΡ. τί δαὶ φοβοίμην, ὧι θανεῖν οὐ μόρσιμον;
ΧΟ. ἀλλ' ἆθλον ἂν σοι τοῦδ' ἔτ' ἀλγίω πόροι.
ΠΡ. ὁ δ' οὖν ποείτω· πάντα προσδοκητά μοι.
ΧΟ. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.
ΠΡ. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί·
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον·
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθεν.

ΕΡΜΗΣ

σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις

**941** cf. Hsch. τ 1529

**925** ἢ τρίκροον West[7]: τρίαιναν *Ω* **926** παίσας *λ*, cf. ad 885 κακῶν M$a^{ss}$W$^{a}$?*λ*Θ? **929** θ' Blaydes[7] 70 **930** καὶ] fort. ἦ διός Y + W **932** πῶς δ' *γκλ* **933** δαὶ M: δ'ἂν cett. **934** ἂν i.r. M: αὖ *δ*V: om. *β*Q*λ* τοῦδ' ἔτ' Elmsley[1] 241, Burges[2] 35 (cf. Pers. 438): τοῦδέ γ' *Ω* (τοῦδ' *β*YQ$^{a}$*λ*) **935** ποείτω V*κ*: ποιείτω fere cett. **937** θῶπτε M$^{a}$I$^{a2}$?K, θῶπε M$^{c}$H: θώπευε M$^{gl}$ cett. **941–3** choro trib. Xc (contra Φ); cf. Taplin 268 n.2 **944** πικρῶν Y (cf. fr. 391?) **945** ἐφημέροις I$^{ss}$?*ξ*$^{γρ}$?HaLh$^{a2}$Fd: τὸν ἐφημέροις B$^{c}$W$^{c}$DV + *κλ*: τὸν ἡμέροις M*αβγ*W$^{a}$?Q$^{γρ}$

πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν γ' ἐκεῖνος ἐκπίπτει κράτους·
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὔθ' ἕκαστα φράζε. μηδ' ἐμοὶ διπλᾶς
ὁδοὺς Προμηθεῦ προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.
ΠΡ. σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
νέον νέοι κρατεῖτε, καὶ δοκεῖτε δή
ναίειν ἀπενθῆ πέργαμ'. οὐκ ἐκ τῶνδ' ἐγώ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ' ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δέ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.
ΕΡ. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
εἰς τάσδε σαυτὸν πημονὰς καθώρμισας.

956 (πέργ.) Serv. in Aen. 1.95, Eu. 503.5, cf. sch. D Il. 4.508 962 Tz. Exeg. Il. pp. 82.20 et 131.17 Lolos

---

946 προδόντα (cf. 38) Wecklein[4] 947 λόγους *a* $O^t Y^c$ 948 ὧν] ἀι· $M^a$ u. v.: οὗ (τ') Dind.[12] cl. 996 γ' $Lh^c$: τ' *Ω*: del. Elmsley[1] 241, [8]293 950 ἔκφραζε D + V + 953 τε *λ* 956 ἀπερθῆ Blaydes[2], ἀπορθῆ id.[7] 70 958 τυραννοῦντ' *γδ* V + : ἐκπεσόντ' Jacobs[3] 959 τάχιστα] κάκιστα $Y^{a2}$ (cf. Eur. Ba. 1307): τράχιστα Dawe[1] 178 961 γε] δὲ M*δ*V: γε δεῖ *a* (ex Σ) 963 ἂν ἱστορεῖς Q Ha, ἱστορεῖς Y: ἂν ἱστορῇς *a* D V + 965 καθώρμισας Φ $I^{γρ}$ O $Y^c$ *δ* V + $Q^{gl}$ K: καθάρωσασ ?$M^a$, καθώρ‖οσασ $M^c$: καθώρισας *aβ* $Y^a$?: κατήγαγες Q L et gl. in aliis

ΠΡ τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγώ.
⟨ΕΡ.⟩ κρεῖσσον γάρ, οἶμαι, τῆιδε λατρεύειν πέτραι
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
⟨ΠΡ. . . . . . . . . . . . . .⟩
οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.
ΕΡ. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασιν.
ΠΡ. χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις λέγω.
ΕΡ. ἦ κἀμὲ γάρ τι ξυμφοραῖς ἐπαιτιᾶι;
ΠΡ. ἁπλῶι λόγωι τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως.
ΕΡ. κλύω σ' ἐγὼ μεμηνότ' οὐ σμικρὰν νόσον.
ΠΡ. νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.
ΕΡ. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.
ΠΡ. ὤιμοι.
ΕΡ. τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.
ΠΡ. ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
ΕΡ. καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.
ΠΡ. σὲ γὰρ προσηύδων οὐκ ἄν, ὄνθ' ὑπηρέτην.
ΕΡ. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρήιζει πατήρ.
ΠΡ. καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῶι χάριν.
ΕΡ. ἐκερτόμησας δῆθεν ὥσ⟨τε⟩ παῖδά με.

968 sq. Mercurio redd. Erfurdt[3] 969 φῦναι ξLc: φῆναι Ω πιστὸν δ' $M^{a}$, -όν γ' $M^{s}$ lac. stat. Reisig[3] xxix/388 970 negl. Φ 971 πήμασι DV 972 χλιδᾶν; Diggle[4] 51 δ' ὧδε anon.[3] 974 ξυμφοραῖς Porson[1]: συμ- Ω (-ρᾶς $I^{ss}C^{a1}$) 977 σμικρὰν *a*Y: μικρὰν fere cett. (μακρὰν $D^{a}V^{a*}$) 980 ὤμοι Ω ΠΡ. ὤμοι. ΕΡ. ⟨"ὤμοι;"⟩ Lachmann[1] 124 (melius ⟨"ὤμοι",⟩ Wecklein[3] 47): etiam Prometheum integro versu donat Keck[0] 984 sq. post 978 trai. Wecklein[16] 986 ὥστε Hermann[32]: ὡς Ω παῖδ' ὄντα με O$Q^{c}$λ, παῖδ' ὄντ' ἐμὲ FbK

ΠΡ. οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾶις ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν ἄικισμ' οὐδὲ μηχάνημ' ὅτωι
προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε
πρὶν ἂν χαλασθῆι δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα ῥῑπτείσθω μὲν αἰθαλοῦσσα φλόξ,
λευκοπτέρωι δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.
ΕΡ. ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.
ΠΡ. ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.
ΕΡ. τόλμησον ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.
ΠΡ. ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.
εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διός
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.
ΕΡ. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγηι γὰρ οὐδὲν οὐδὲ μαλθάσσηι λιταῖς
ἐμαῖς, δακὼν δὲ στόμιον ὡς νεοζυγής
πῶλος βιάζηι καὶ πρὸς ἡνίας μάχηι.

988 πεύσεσθαι *βκλ*: -σεῖσθαι cett. 990 προστρέψεται $M^{a}$H 992 ῥιπτείσθω cf. ad 1043: -έσθω *Ω* αἰθαλοῦσσα $Y^{a}$?, -οῦσα Lb: αἰθάλ(λ)ουσα fere cett.: αἰθεροῦσ(σ)α $M^{γρ}I^{γρ}Y^{c}Q^{2γρ}$ 995 γνάψει $M^{a}D^{a}$ φράσειν M*αβ* 998 ὦ παῖ M$B^{a}$ (contra Σ) 1007 αλλ' (sc. κἄλλ'?) ἐρεῖν μάτην $M^{γρ}$: πόλλ' ἐρεῖν μάτην $I^{γρ}$ 1008 μαλθ. κέαρ λιταῖς O (ex 379) 1009 νεοζυγόσ H (νεόζυγος Blaydes[2]) 1010 σφαδάιζεις (cf. Pers. 194) Burges[8] 193

ἀτὰρ σφοδρύνηι γ' ἀσθενεῖ σοφίσματι·
αὐθαδία γὰρ τῶι φρονοῦντι μὴ καλῶς
αὐτὴ κατ' αὐτὴν οὐδενὸς μεῖζον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῆις λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῆι καὶ κεραυνίαι φλογί
πατὴρ σπαράξει τήνδε καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει·
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις εἰς φάος, Διὸς δέ τοι
πτηνὸς κύων, δαφοινὸς αἰετός, λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινάσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων

1015 (χ. καὶ τρ.) sch. Pind. Isth. 1.54a; cf. Hsch. (Cyr.) τ 1394 1021–2 (Διὸς κύων) cf. sch. Dion. Thr. p. 458.19 H., nisi ad locum deperditum spectat 1024 cf. Hsch. δ 107

---

1011 αὐτὰρ *αβγ*W 1013 καθ'αὑτὴν *Ω* (κατ' $L^{a}$) 1014 πείθη $Q^{a}$?L 1016 ἀφύκτωσ $M^{a}$ (non Φ) 1017 πέμφιγι βροντῆς $Nauck^{6}$ 202 κεραυνίω *β* 1018 ἀράξει $Nauck^{6}$ 203 1021 σοι Y$\zeta^{ss}$ 1022 λάβρος $\alpha^{t}B^{t}\gamma^{t}\kappa^{t}$, λαῦρος W 1023 ῥάκος μέγα ONc 1024 ἄκλειστος $I^{\gamma\rho}$ (ἀκέλευστος? Herington cl. Ag. 731) ἀνήμερος $H^{1}$ 1025 κελαινόχρωτον Pallis ἐκθοινάσεται $Nauck^{4}$ 175 (cf. Björck 140): -νήσεται *Ω* (-νηθήσεται O) 1026 τοιοῦδε (cf. 913)] τοσοῦδε $\zeta^{\gamma\rho}$: τοῦ σοῦ δὲ *μ* μή τοι M$O^{1}$D: μοι μὴ *α*

φανῆι θελήσηι τ' εἰς ἀναύγητον μολεῖν
Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ', ὡς ὅδ' οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δέ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἀμείνον' ἡγήσηι ποτέ.

ΧΟ. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πείθου· σοφῶι γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.

ΠΡ. εἰδότι τοί μοι τάσδ' ἀγγελίας ὅδ' ἐθώϋξεν·
πάσχειν δὲ κακῶς ἐχθρὸν ὑπ' ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ' ἐπί μοι ῥιπτείσθω μὲν πυρὸς ἀμφήκης
βόστρυχος, αἰθὴρ δ' ἐρεθιζέσθω
βροντῆι σφακέλωι τ' ἀγρίων ἀνέμων,
χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις
πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίωι ξυγχώσειεν
τῶν οὐρανίων ἄστρων διόδους·
εἰς δὲ κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ' οὐ θανατώσει.

**1028** δ' $K^{c?}$ *λ* **1031** εἰρημμένοσ $M^{a}$ puto: ἐτήτυμος Hartung **1035** εὐ(βουλίας) $K^{1}$ i. r.: possis μὴ πειθαρχίαν | δυσβουλίας ut ποτέ sit 'aliquando'. nota verba 1037 sq. repetita ἄμεινον $M^{a}$ *a* H **1039** πιθοῦ *λ* **1043** ἐπί μοι M $I^{a}$ $O^{c}$ Y W: ἐπ'ἐμοὶ cett. ῥιπτείσθω M (ι prius $M^{2r}$): -έσθω cett. **1048** ξυγ- Brunck[1]: συγ- *Ω* συγχώσειεν ἐμὲ ($β^{gl}$) *δ* V + et fere *γ* **1049** τῶν B Nc X Xc $K^{a}$: τῶν τ' M Φ cett. **1050** δὲ Schütz[2]: τε *Ω* **1051** ἄ|||δην $B^{c}$, ἅδην O$^{\times}$ Q **1052** στερεαῖς *a* (cf. 173), στεραῖς *κ*

ΕΡ. τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ ⟨οὐ⟩ παραπαίειν
ἡ τοῦδ' εὐχή; τί χαλᾶι μανιῶν;
ἀλλ' οὖν ὑμεῖς γ', αἱ πημοσύναις
ξυγκάμνουσαι ταῖς τοῦδε, τόπων
μετά ποι χωρεῖτ' ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὕμων ἠλιθιώσηι
βροντῆς μύκημ' ἀτέραμνον.
ΧΟ. ἄλλό τι φώνει καὶ παραμυθοῦ μ' ὅτι καὶ πείσεις·
οὐ γὰρ δήπου τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
μετὰ τοῦδ' ὅτι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.
ΕΡ. ἀλλ' οὖν μέμνησθ' ἅ γ' ἐγὼ προλέγω,
μηδὲ πρὸς ἄτης θηραθεῖσαι μέμψησθε τύχην,
μηδέ ποτ' εἴπηθ' ὡς Ζεὺς ὕμας
εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν·
μὴ δῆτ', αὐταὶ δ' ὑμᾶς αὐτάς·
εἰδυῖαι γὰρ κοὐκ ἐξαίφνης οὐδὲ λαθραίως

1056 ⟨οὐ⟩ (cf. 627) Wecklein[4] 1057 ἡ τοῦδ' εὐχή C. Winckelmann, G.C.W. Schneider: ἢ τοῦδ'εὐτυχῆ M: εἰ τοῦδ' εὐτυχῆ Φ[uv] D[ss] P[γρ], εἰ τοῦδ' εὐτυχεῖ *a*[t]: εἰ τάδ' εὐτυχῆ cett., quod ex τοῦδ' (τα supra) (Q[2γρ] P[γρ]) fluxit 1058 γ'αἱ Y: γε fere cett. (δε H) 1059 ξυγ- Brunck[1]: συγ- *Ω* 1060 ποι G[ss]: που *Ω* 1061 ὑμῶν fere *Ω* (ὑμῖν H[t], ἡμῶν Y W[a]?) ἡλιθ- H: ἠλιθ- cett. 1063 ἄλλό sic H*γδ*V + KL 1068 γὰρ προδότας γὰρ Y: γὰρ προδότας Bothe[1] 1069 οὐκ *a*B*γ* 1071 ἀλλ'οὐ M[a] ἅ γ' ἐγὼ anon.[3]: ἅτ' ἐγὼ *Ω* (ἅττ' V*λ*): ἁγὼ Porson[1] 1073 τύχας Fc[t]F[t] 1074 ὑμᾶς *Ω* (ἡμᾶς *aγ*DQ) 1077 καὶ οὐκ M*β*O + W: οὐκ cett.

εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.
ΠΡ. καὶ μὴν ἔργωι κοὐκέτι μύθωι χθὼν σεσάλευται,
βρυχία δ' ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ' ἐκλάμπουσι στεροπῆς ζάπυροι,
στρόμβοι δὲ κόνιν εἱλίσσουσι,
σκιρτᾶι δ' ἀνέμων πνεύματα πάντων
εἰς ἄλληλα στάσιν ἀντίπνουν ἀποδεικνύμενα,
ξυντετάρακται δ' αἰθὴρ πόντωι.
τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων,
ἐσορᾶις μ' ὡς ἔκδικα πάσχω;

1078 ἀπέρατον M$^{a2}$ *λ* (cf. ad 154)  1080–90 choro trib. *β*, προ$^{μθ}$ ἢ χορὸς O K  1081 σαλεύεται *αβ*: σεσάλευκεν Blomf.[5]  1082 περιμυκᾶται Naber[1]  1084 ἑλίσσουσι(ν) *Ω*: corr. Lb[1]  1085 πάντως Y$^{ss}$ (-ος Y$^{t}$) Lh  1087 εἰς ἄλληλα (om. Fd$^{a}$) et ἀποδ. del. Herwerden[5] 123, ἀποδ. iam Dind.[11] xxiv, εἰς ἄλλ. iam Kiehl 79 (qui ἀποδ. ante στάσιν trai.), omnes ἀντίπνοον legentes  1088 συν- Y  1092 ἑλίσσων *Ω*: corr. T Lb  1093 fort. ἐσορᾶθ' ὡς (imperative, cf. 92 sq. Eur. Med. 161)  ἄδικα H Y + *δ* V* + πάσχω; sic I Va *λ*

# CANTICORVM METRA

Siglis utor his:

| | |
|---|---|
| $\bar{\times}$ | syllaba longa in loco ancipiti |
| ⏖ | duae breves ex resolutione in loco principi |
| $\ddot{-}$ | longa in loco bicipiti |
| \| | finis vocabuli |
| \|\| | finis periodi |
| \|\|\| | finis strophae |
| :\| :\|\| | accedit pausa syntactica |
| ⁀ | zeugma, i.e. vitatur finis vocabuli |
| ∫ | vocabulum una syllaba transgreditur colorum iuncturam |
| : : | mutatio personae |
| ~ | respondet stropha antistropho |
| ! | exclamatio (extra metrum) |
| $\wedge$ | ($ia_{\wedge}$, $da_{\wedge}$, etc.) metrum seu versus catalecticus |
| + | ($\delta^{+}$, $io^{+}$) metrum seu versus hypercatalectus |
| an | metrum anapaesticum |
| ar | versus aristophaneus |
| $ar^{d}$ | versus aristophaneus dactylo auctus ($ar^{2d}$ = duobus dactylis auctus) |
| ch | choriambus |
| cr | creticus |
| δ | dochmius |
| d/D | – ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ – |
| $D^2/D^3$ | – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – |
| $_{\wedge}D$ | ∪ ∪ – ∪ ∪ – |
| da | dactyli |
| $da_{\wedge\wedge}$ | dactyli cum brachycatalexi (...– ∪ ∪ –) |
| dod | dodrans |
| $dod^{\cdot\cdot}$ | dodrans inversus (– × – ∪ ∪ –) |
| e/E | in dactylo-epitritis cola – ∪ – / – ∪ – × – ∪ – |
| $E^2$ | – ∪ – × – ∪ – × – ∪ – |

| | |
|---|---|
| gl | versus glyconeus |
| ¨gl | versus glyconeus cum anaclasi (= ch ia) |
| hag | versus hagesichoreus |
| hag$^{c}$ | versus hagesichoreus choriambo auctus |
| hδ | hypodochmius |
| hex | hexameter dactylicus |
| hi | versus hipponacteus |
| ia | metrum iambicum ($_{\wedge}$ia / ia$_{\wedge}$ / $_{\wedge}$ia$_{\wedge}$ = – ∪ – / ∪ – – / – – pro metro iambico) |
| io | metrum ionicum |
| 2io$^{\div}$ | dimeter ionicus anaclasticus (= versus anacreonteus) |
| ith | versus ithyphallicus |
| kδ | dochmius kaibelianus |
| lec | lecythium |
| mol | molossus |
| pe | penthemimeres |
| ph | versus pherecrateus |
| tl | versus telesilleus |
| tl¨ | versus telesilleus cum anaclasi (× – × – ∪ ∪ –) |
| tr | metrum trochaicum |

Praeter opera in indice criticorum memorata citantur etiam:


| | |
|---|---|
| Dale | A.M. Dale, Metrical Analyses of Tragic Choruses, BICS Suppl. 21.1–3, 1971–83 |
| Dale CP | eadem, Collected Papers, Cambr. 1969 |
| Dale LM$^2$ | eadem, The Lyric Metres of Greek Drama, ed. alt., Cambr. 1968 |
| West GM | M.L. West, Greek Metre, Oxford 1982 |

# ΠΡΟΜΗΘΕΥΣ

114   ∪ ∪∪ – ∪ – ‖ vel ?∪̄ – ∪∪ ∪ – ‖   δ ‖
115   ∪ – – | ∪ – – | ∪ – – | ∪ – – |   ia^ | ia^ | ia^ | ia^ |
116   ∪ ∪∪ ∪ – ∪ – ∪ | – ∪ – ∪ – ‖   3ia ‖
117   – ∪ ∪ – ∪ ∪ – ⟨∪⟩ | ∪∪ ∪ – |   D ∪ | e | ?
118   ∪ – ∪ – ∪ – ∪ | – ∪ – ∪ – ‖   3ia ‖
119   ∪ – ∪ – x̄ – ∪ | – ∪ – ∪ – ‖|   3ia ‖|

114] cf. Ag. 1125. Cho. 870

128   144   x̄ – ∪ – – : | ∪ ∪ – ∪ – ∪ – – |   pe | 2io÷ |
129   145   ∪ ∪ – ∪ – ∪ – – |   2io÷ |
130   146   ∪ ∪ – – ∪ ∪ – ∪ – – |   2io+ |
131   147   ∪ – ∪ – –  ∪ ∪ – |   pe io^ |
132   148   – ∪ ∪ – ∪ ∪ – ∪ – – : ‖   ar^d ‖
133   149   ∪ – ∪ – –  ∪ ∪ – ∪ – ∪ – – |   pe 2io÷ |
134   150   ∪ ∪ – ∪ – ∪ – –  ∪ ∪ – ∪ – – : ‖   2io÷ io+ ‖
135   151   ∪ – ∪ ∪ – ∪ ∪ – ∪ – – ‖|   hag^d ‖|

131/2 ~ 147/8] vel pe 2io^ io+ ‖, at v. Zuntz, Drei Kapitel z. gr. Metrik (Sitz.-Ber. Oesterr. Ak. 443, 1984) 84–7

160   178   ∪ – ∪ – ∪ – ∪ – |   2ia |
161   179   ∪ – ∪ – ∪ ∪∪ ∪ – |   2ia |
162   180   ∪ – ∪ – ∪ – ∪ – |   2ia |
163   181   ∪ – ∪ ∪∪ ∪̄ ∪∪ ∪ ∪∪ ∪ – ∪ – ‖   3ia ‖
164   182   ∪∪ ∪ – ∪̄ – ∪ – |   lec |
165   183   – ∪ ∪ – ∪ ∪ – | – ∪ – ∪ – – ‖   D | ith ‖
166   184   ∪ ∪ – ∪ ∪ – ∪ ∪ | – ∪ ∪ – ∪ ∪ |   ∪ ∪ 4da |
167   185   – ∪ ∪ – ∪ ∪ – ∪ – – ‖|   ar^d ‖|

397/8   406/7   ∪ – ∪ – –  ∪ ∪ – ∪ – ∪ – – |   pe 2io÷ |
399   408   ∪ ∪ – – ∪ ∪ – –   2io
400   409   ∪ ∪ – – ∪ ∪ – ∪ – ∪ – – |   io 2io÷ |

401 410 ∪ ∪ – ∪ – ∪ – – : ‖ 2io$^{\div}$ ‖
402 411 ∪ ∪ – ∪ – ∪ – –| 2io$^{\div}$ |
403 412 ∪ ∪ – ∪ – ∪ – –| 2io$^{\div}$ |
404 413 ∪ ∪ – ∪ – ∪ –|– 2io$^{\div}$
405 414 ∪ ∪ – – – ∪ – –‖| 2io$^{(\div)}$ ‖|

415 420 ⏖ ∪ – ∪ – ∪ – ⏒| 2tr|
416 421 – ∪ – ∪ – ∪ – ⏒| 2tr|
417 422 – ∪ – ∪ – ∪ – ⏒| 2tr|
418 423 – ∪ – ∪ ∪ – ∪ – gl
419 424 – ∪ ∪ – ∪ – –‖| ar ‖|

425 430a ∪ – –|– ∪ – ∪ – ∪ –| ia$_{\wedge}$ | lec|
426 431 ∪ – ∪ ∪ – ∪ ∪ – ⏒ – ∪ – ∪ D ia
427 432 – ∪ – ∪ – ∪ – ‖ lec ‖
428 433 ∪ – ∪ ⏕ ∪ ⏖ ∪ –|∪ – – ‖ 3ia$_{\wedge}$ ‖
429 434 – $\ddot{–}$|– ∪ ∪ – ∪ ∪ –| D$^{2}$|
430 435 ⏒ – ∪ – ∪ – –‖| 2ia$_{\wedge}$ ‖|

526 536 – ∪ ∪ – ∪ ∪ –| D|
527/8 537/8 – ∪ –| ×̄ – ∪ ∪ – ∪ ∪ – –| e|– D –|
529 539 – ∪ – ×̄͡ ÷ ∪ ∪ – ∪ ∪ –| e – D|
530 540 ×̄ – ∪ ∪ – ∪ ∪ –| – D|
531/2 541 – ∪ –|⏓ – ∪ ∪ – ∪ ∪ – ?⏓͡– ∪ –| e|– D – e|
533 542 – ∪ ∪ ÷ ∪ ∪ –| D|
534 543 ⏓ ∪ – ⏒ – ∪ –| ⏓ ∪ – ⏒ e|
535 544 ×̄ – ∪ – ∪ – –‖| – ith ‖|

545 553 ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – $_{\wedge}$D$^{3}$
546 554 ∪ – ∪ – – ‖ ∪ e – ‖
547 555 ∪ ∪ – ∪ ∪ – ∪ – ∪ – ∪ – – ‖ $_{\wedge}$D ∪ ith ‖
548 556 ∪ ∪ – ∪ ∪ – $_{\wedge}$D
549 557 ∪ – ∪ – ∪ – ∪ – ∪ – – ‖ ∪ e ∪ ith ‖
550 558 ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – ‖ $_{\wedge}$D$^{4}$ – ‖
551 559 – ∪ ∪ – ∪ ∪ –| D|
552 560 ⏓ – ∪ – ∪ – ∪ – –‖| ⏓ E –‖|

566 { ∪ – ∪ ⏓ ‖ ? ! = ia ‖ ?
×̄ – ∪ – ∪|– ∪ – ∪ – – ‖ 3ia$_{\wedge}$ ‖

| | | | | |
|---|---|---|---|---|
| | 567 | | {– – ∪ – –\|– ∪ –} ∪ – – –\| | {2ia}\|$\delta_{\wedge}$ \| |
| | 568 | | x̄ – ∪ – ∪\|– ∪ – ∪ – – ‖ | $3ia_{\wedge}$ ‖ |
| | 569 | | ∪ ∪∪ – ∪ –\|∪ ∪∪ – ∪ –\| | δ\|δ\| |
| | 570 | | ∪ – ∪ – ∪ – ∪\|– ∪ – – ‖ | $3ia_{\wedge}$ ‖ |
| | 571 | | – ∪∪ – ∪ – – ‖ | $\delta^{+}$ ‖ |
| | 572 | | – ∪∪ – ∪ –\|∪ – ∪ – ∪ – | δ\|kδ |
| | 573 | | ∪ – ∪∪ ∪ –\|∪ ∪∪ – x̄ – ‖\| | δ\|δ ‖\| |
| 574 | 593 | ΙΩ | ∪ ∪∪ – ∪ – ∪ ∪∪ – ∪ –\| | 2δ\| |
| 575 | 594 | | – ∪ –\|?⏓ ∪∪ – ∪ – ‖ | cr\|δ ‖ |
| 576 | 595 | | ∪ ∪∪ – ∪ –\| | δ\| |
| 577 | 596 | | – ∪ – – ∪ – ∪ $\frac{\cup\cup}{-}$ – ∪ –\| | 2cr δ\| |
| 578 | 597 | | ∪∪ ∪ – ∪∪ ∪ – ∪∪ ∪ – | 3cr |
| 579 | 598 | | ∪ – – ∪ – – ∪ – – ∪ – – ∪ – – ∪ – ‖ | δ 4cr ‖ |
| 580 | 599 | | x̄ – ∪ – ∪\|– ∪∪ – x̄ –\| | pe\|δ\| |
| 581 | 600 | | ∪ ∪∪ ∪ – ∪ – –\| | $2ia_{\wedge}$ \| |
| 582 | 601 | | ∪ ∪∪ – ∪ – ∪ ∪∪ – ∪ – | 2δ |
| 583 | 602 | | – ∪ –\|∪ ∪∪ – ∪ – ‖ | cr\|δ ‖ |
| 584 | 603 | | – ∪ – ∪ – – ‖ | ith ‖ |
| | 604 | | – ∪ – ∪ –\| | hδ\| |
| 585 | 605 | | ∪ – ∪ ∪∪ ∪ – ∪ –\| | 2ia\| |
| 586 | 606 | | ∪ – ∪ – ∪\|– ∪ – ∪ – ∪ –\| | 3ia\| |
| 587 | 607 | | – ∪ – ∪ – ⏓ : ‖ | ith ‖ |
| 588 | 608 | | ∪ – – ∪ –\|– ∪ –\|– ∪ – ‖\| | δ\|cr\|cr ‖\| |
| 589/92 | 609/12 | ΠΡ. | | ::3ia ‖ × 4 |
| | 687 | | ∪∪ ∪ – ‖ ∪∪ ∪ – ‖ | cr ‖ cr ‖ |
| | 688 | | – ∪ ⟨–⟩ – ∪ – – ∪ –\| | 3cr\| |
| | 689 | | ∪ – – ∪ –\|$\overset{?}{-}$ ∪∪ – ∪ –\| | δ\|δ\| |
| | 690 | | x̄ – ∪ – ∪ – ∪ – ∪ – ⏓ ‖ | $3ia_{\wedge}$ ‖ |
| | 691/2 | | † – ∪ ∪ – ∪ ∪ – ∪ – – – | ? |
| | 693 | | – – – – – – ∪ – † | ? |
| | 694 | | ∪ – – ∪ – ⏓ ‖ | $ia_{\wedge}$ $ia_{\wedge}$ ‖ |
| | 695 | | ∪ – – ∪ – ∪ – ∪ – – ‖\| | $ia_{\wedge}$ ia $ia_{\wedge}$ ‖\| |
| 887 | 894 | | – ∪ ∪ – ∪ ∪ – | D |
| 888 | 895 | | x̄⁀ – ∪ – x̄⁀ – ∪ ∪ – ∪ ∪ – | – e – D |
| 889 | 896 | | x̄⁀ – ∪ ∪ – ∪ ∪ – – ‖ | – D – ‖ |
| 890 | 897 | | – ∪ – x̄⁀ – ∪ ∪ – ∪ ∪ – x̄⁀ – ∪ – ‖ | e – D – e ‖ |

| | | | |
|---|---|---|---|
| 891 | 898 | x̄͡ – ∪ – x̄͡ – ∪ ∪ – ∪ ∪ – \| | – e – D \| |
| 892 | 899 | – ∪ – \| x̄͡ – ∪ ∪ – ∪ ∪ – \| | e \| – D \| |
| 893 | 900 | – ∪ – x̄͡ – ∪ – x̄͡ – ∪ – \|\|\| | $E^2$ \|\|\| |
| | 901 | ∪ – ∪ ⏕ ∪ \| ⏕ ∪ \| ⏕ ∪ ⏕ ∪ – | 3ia |
| | 902 | ∪ ⏕ ∪ – ∪ – ∪ – \| {∪ – ∪ –} | 2ia \| |
| | 903 | ∪ – ∪ – ∪ – ∪ – \|\| | 2ia \|\| |
| | 904 | ∪ ⏕ ∪ ⏕ ∪ ⏕ ∪ \| ⏕ ∪ ⏕ ∪ – | 3ia |
| | 905 | ∪ – ∪ – ∪ – – \|\| | $2ia_{\wedge}$ \|\| |
| | 906 | – ∪ – ∪ – ∪ – \| – ∪ ∪ – ∪ – – \|\|\| | lec \| ar \|\|\| |